Καὶ ταῦτα μὲν ἴσως Ὀδυσσεὺς ἀκαίρως εἶπεν, ἐκ τοῦ ταπεινοῦ δρεπάνου μεταβὰς εἰς ἄροτρον καὶ ἀπ᾽ αὐτοῦ εἰς ξίφη καὶ ὑπολαλήσας ὑποθετικῷ σχήματι ἀνυπόπτως καθάπερ αὐτὰ οὕτω καὶ τὴν εἰσαύριον μάχην. Τί γὰρ σήμερον, ὃ δὴ λέγεται, τί δὲ αὔριον ; 1851.1.

Τί σήμερα, τί αὔριο λέγομεν καὶ ἡμεῖς παροιμιωδῶς παρορμῶντές τινα πρὸς ταχεῖαν ἔργου τινὸς ἐκτέλεσιν.

[1] Λόγα λιπαρὰ καὶ φαγία ἀνάρτυτα λέγουσιν ἐν Κερασοῦντι ἐπὶ τῶν πολλὰ μὲν ὑπισχνουμένων, μηδὲν δ᾽ ἐκπληρούντων.

[2] Δὲν ἔχει ἁλάτι· ἐπὶ ἀηδοῦς Ι. Βενιζέλου, Παροιμίαι δημώδεις [2] σ. 55 ἀρ. 48 καὶ Ι. Βερέττα, Συλλογὴ παροιμιῶν σ. 21 ἀρ. 3.

[3] Ἄναλος ἢ ἄναλος καὶ ἄβρωτος λέγεται ἐν Πόντῳ ὁ ἄχαρις καὶ ἀηδής, φαγὶν δ᾽ ἀνάλιν, τὸ ἄναλον. Γνωστὸν ὅτι ὁ ἀηδὴς νῦν κοινῶς ἀνάλατος λέγεται.

* *Τέσσαρας χρυσίνων χιλιάδας ἐγκρατῶς ἐζητήθημεν, οἱ μηδὲ ψαμμίων ἢ χοὸς δράκα ἢ τὸ καθομιλούμενον σίελον ἐπὶ στόματος ἔχοντες Opusc. 294.58.*

Δὲν τοῦ μεινε [ἔχει] σάλιο ᾽ς τὸ στόμα λέγεται καὶ παρ᾽ ἡμῖν παροιμιωδῶς ἐπὶ τοῦ μηδὲν ἔχοντος.

* *Καὶ εἰσὶ μὲν πολλοὶ μέχρι καὶ ἐν τοῖς ἄρτι αὐχοῦντες ἕκαστος ἐν τῷ λέγειν ὅτι ὁ ἐμὸς λόγος λόγος ἐστὶν Opusc. 164.95.*

Καὶ παρ᾽ ἡμῖν ὁ θέλων τὴν σταθερότητα τῶν λόγων του νὰ ἐξάρῃ λέγει· «ὁ λόγος μου εἶναι λόγος».

* *Ἐπὶ δὴ τούτοις προκαλοῦμαι... ἀφίεσθαι τῶν καὶ ἀπείρων καὶ ἀκαίρων ἀπειλῶν, τοῦ παρὰ ὥραν βρυγμοῦ τῶν ὀδόντων, τῶν ἐν κενοῖς γλωσσαλγιῶν, ἐνθυμουμένους τὸ περιᾳδόμενον ὡς ἀνδρῶν μὲν τὸ ποιεῖν, γυναικῶν δὲ τὸ λαλεῖν Opusc. 85.60.*

Ἡ παροιμιώδης αὕτη φράσις, ἣν ὑπεμφαίνει καὶ ἕτερος σύγχρονος περίπου συγγραφεὺς λέγων [1]· «ἀλλὰ τὴν συμμετρίαν ἤδη τῷ λόγῳ παραχωρήσωμεν ὡς ἡ πολυλογία τῶν ἀδυνάτων, τὸ δ᾽ ἔργον τῶν ἰσχυρῶν» δὲν σῴζεται πλήρης παρ᾽ ἡμῖν. Ἡμεῖς περὶ γυναικῶν λέγομεν συνήθως «οἱ γυναῖκες εἶναι μόνο γιὰ λόγια», ἐν γένει δ᾽ ἐπὶ ἀτόμου λέγοντος καὶ μὴ πράττοντος μεταχειριζόμεθα τὰς φράσεις «εἶναι μόνο γιὰ λόγια» «μόνο νὰ λέῃ εἶναι».

* *Νοῦν ὀρθόν· ἐξάγγελον λόγον ἀληθῆ, γλῶσσαν ἀργύπαρον, τὸ μὴ τρίζειν τοὺς ὀδόντας ἐπὶ τοῖς μηδὲν αἰτίοις Opusc. 152.57.*

Ἀχιλλεὺς δὲ καναχὴν ὀδόντων ἔχει πάνυ θυμούμενος καὶ ὥσπερ πρίων αὐτούς. Ἄλλος δ᾽ ἂν εἴποι τις κοινότερον τρίζων 1189.4.

Τρίζει τὰ δόντια του λέγομεν σήμερον ἐπὶ ὀργιζομένου, «τοῦ τριξε τὰ δόντια» δὲ ἢ «τοῦ δειξε τὰ δόντια» ἐπὶ τοῦ ἀπειλοῦντός τινα.

Αἱ δύο αὗται παροιμιώδεις φράσεις, ὧν ἡ δευτέρα ἐλήφθη ἐκ τοῦ ἀναλόγου σχήματος, περιέχονται εἰς τὰ λεγόμενα τοῦ Εὐσταθίου, ὅστις καὶ παρέφρασε τὴν ἑτέραν αὐτῶν εἰπών· «τῶν ἀκαίρων ἀπειλῶν, τοῦ παρὰ ὥραν βρυγμοῦ τῶν ὀδόντων» Opusc. 85.65.

Τὸ τρίζω τοὺς ὀδόντας, ὅπερ ὡς φρ. φέρεται πολὺ πρὸ τοῦ Εὐσταθίου [2],

[1] Τοῦ Θεολογάκη, Ὡς ἐκ προσώπου τῶν καλουμένων τζύρων (Σ. Λάμπρου, Ν. Ἑλλην. 7. 359).

[2] Πόσοι εἰσὶν ἄρτι τρίζοντες τοὺς ὀδόντας ἀπὸ τοῦ κρύους. H. Gelzer, Leontios von Neapel, das Leben des heil. Johannes des barmherzigen 38.19.

ἐλέγετο, ὡς πληροφορούμεθα παρὰ τοῦ Προδρόμου, καὶ σφίγγω τοὺς ὀδόντας [1], ἐπὶ τῆς ἐποχῆς δὲ τοῦ Καισαρείας Ἀρέθα καὶ ἀποτιγρώνω, ἤτοι ὡς τίγρις δεικνύω τοὺς ὀδόντας [2].

Τὸ δὲ ἐπ' ἅμαξαν Ἰωνικὴν ψίλωσιν τῆς ἁμάξης δηλοῖ· εἰ δέ τις ἰσχυρογνωμονεῖ γράφων ἐφ' ἅμαξαν, εἴη ἂν προσήκων ταῖς ἐξ ἁμάξης, ὅ φασι, λοιδορίαις 1372.15.

Ἡ παροιμία, ἣν καὶ Θεόδωρος ὁ Πρόδρομος ἀναφέρει «νῦν δ' ἐξ ἁμάξης ὑβριεῖ τὸ τοῦ λόγου» [3] εἶναι ἡ ἀρχαία, τὰ ἐξ ἁμάξης, ἀναφέρεται δ' ὑφ' ἡμῶν ἐνταῦθα διότι, ἀφ' οὗ εἶναι καὶ σημερινὴ «τοῦ ψαλε τὰ ἐξ ἁμάξης» ἀσφαλῶς θὰ ἦτο καὶ μεσαιωνική, ὡς ἄλλως ὑποδεικνύει πως καὶ τὸ «ὅ φασι» καὶ «τὸ τοῦ λόγου».

Γέλῳ ἔκθανον ὡς οἷα λιποθυμήσαντες ἐκ τοῦ γελᾶν, ὃ καὶ μέχρι νῦν παροιμιακῶς ἐπὶ μεγάλου καὶ ἀθρόου γέλωτος ἐκράτησε λέγεσθαι 1839.29.
μὴ καὶ προσκόψαντες ἢ ἀπολώμεθα ἢ παρενεχθῶμεν εἰς τὸ βλάσφημον καὶ μηδὲ οἱ ἐπιχαίροντες ἡμῖν γέλωτι, κατὰ τὸν εἰπόντα, ἐκθάνωσι, τέλεον ἐγκαυχησάμενοι Opusc. 104.60.

Ἐκ τῶν δύο παροιμιωδῶν φράσεων «γέλῳ ἔκθανον» καὶ «λιποθυμεῖν ἐκ τοῦ γελᾶν» ὁ Εὐστάθιος δέχεται τὴν ἑτέραν ὡς λεγομένην παροιμιωδῶς ἐπὶ τῶν χρόνων του, φαίνεται ὅμως ὅτι τότε ἀμφότεραι ἐλέγοντο, ἄλλως δὲν δύναται νὰ ἐξηγηθῇ τὸ ὅτι σήμερον τὸ ὑπὸ τοῦ γέλωτος παρίεσθαι λέγομεν οὐ μόνον «πέθανα ἢ ξεράθηκα 'ςτὰ γέλοια», ἀλλὰ καὶ «λιγοθύμησα ἢ λιγώθηκα 'ς τὰ γέλοια».

* *Καλὸν ἡ παλαιὰ ἡμῶν γυμνιτεία μακαρισμοῦ εἶχε πλάσμα· ἐχρωμάτιζε τὸν ἐν βίῳ σπουδαίῳ ἀπέριττον. Ἡ δὲ γύμνωσις αὕτη κατὰ τὴν ἐκ κοιλίας μητέρος καθίσταται Opusc. 330.10.*

Ὑπόκειται ἐνταῦθα ἡ παροιμία «γυμνὸς ὡς ἐκ μήτρας» ἡ ἐπὶ τῶν ἀπό-

[1] *καὶ πιάσω καὶ συντρίψω τον καὶ σφίξω τοὺς ὀδόντας*
Hesseling-Pernot, Poèmes Prodromiques 3. 170.

[2] Σ. Κουγέα, Αἱ ἐν τοῖς σχολίοις τοῦ Ἀρέθα λαογραφικαὶ εἰδήσεις (Λαογραφίας τόμ. 4. 263.) Ὡς ἀλλαχοῦ ὑπέδειξα, Φ. Κουκουλέ, Συμβολὴ εἰς τὴν μεσαιωνικὴν Ἑλληνικὴν λαογραφίαν (Ἀθηνᾶς τόμ. 26 σ. 143 - 144) τὸ τιγρώνω τοῦτο ὡς ἀποτσιγγρώνω καὶ τσιγγρίζω σῴζεται καὶ σήμερον.

[3] Θεοδώρου Προδρόμου, Στίχοι σχετλιαστικοὶ εἰς τὴν Πρόνοιαν (Migne, P. G. 133. 1335 β).

ρων λεγομένη καὶ ὑπὸ Γρηγορίου τοῦ Κυπρίου [1] καὶ ἄλλων μεσαιωνικῶν συγγραφέων μνημονευομένη [2].

Αὕτη ἐκ τῶν ἑξῆς χωρίων τῆς Π. Δ. προερχομένη (Ἰώβ. 1.21). «Αὐτὸς γυμνὸς ἐξῆλθον ἐκ τῆς κοιλίας μητρός μου γυμνὸς καὶ ἀπελεύσομαι ἐκεῖ» καὶ (Ἐκκλησιαστὴς 5.14) καὶ καθὼς ἐξῆλθεν ἀπὸ γαστρὸς μητρὸς αὐτοῦ γυμνός, ἐπιστρέψει τοῦ πορευθῆναι ὡς ἥκει» [3], φέρεται καὶ παρ' ἡμῖν, οἵτινες ἐπὶ ἐνδεῶν καὶ γυμνῶν λέγομεν «σὰν ἀπὸ τὴν κοιλιὰ τῆς μάννας του» [4].

Θρίξ, ὅ φασιν ἀνὰ μέσον καὶ ἔβλεπε θάνατον Opusc. 292.47.
Οἱ νεώτεροι ἐπὶ κινδύνων ἐνενοήσαντο παροιμίαν ἐπὶ τριχὸς φάσκοντες ἠρτῆσθαι τὰ πράγματα, ἐξ οὗ παραποιήσας ὁ Θεόκριτος ἔφη τὸ θρὶξ ἀνὰ μέσον 796.59.
μηδὲν τοῦ λοιποῦ μεσολαβεῖν τῇ πρὸς Θεὸν ἑνώσει τοῦ κατ' ἄνθρωπον λογιστικοῦ, ἵνα μηδ' αὐτὸ τοῦτο λέγηται παροιμιακῶς ἐνταῦθα τὸ θρὶξ ἀνὰ μέσον Opusc. 232.67.

Ἐν τοῖς ἀνωτέρω δύο ὑπόκεινται ἔννοιαι, ἀφ' ἑνὸς μὲν ἡ τῆς τοῦ ἐπικρεμαμένου μεγάλου κινδύνου, ἀφ' ἑτέρου δὲ ἡ τῆς παρὰ μικρὸν διαφυγῆς αὐτοῦ. Τὴν πρώτην παροιμίαν «ἐκ τριχὸς κρέμαται» ἐπὶ τῶν σφόδρα κινδυνευόντων, ἐμνημόνευσεν ὅ τε Ψευδοδιογενειανὸς (4.41) καὶ ὁ Ζηνόβιος (3.47) τὴν εὑρίσκομεν δὲ καὶ ἐν τῇ Παλατίνῃ Ἀνθολογίᾳ (5.230) «ἀπὸ τριχὸς ἠέρτημαι» [5]. καὶ παρὰ Ζωναρᾷ ἐν τῷ χρονικῷ του (15.29) «ἐπεὶ τὴν ζωὴν ἑαυτοῦ ἐκ λεπτοῦ ἤδη μίτου ἠρτῆσθαι διέγνωκε» [6], συνήθης δὲ εἶναι καὶ παρ' ἡμῖν ὑπὸ τοὺς τύπους «ἀπὸ τὴν τρίχα κρέμεται» [7] ἢ «ἀπὸ μιὰ τρίχα κρέμεται».

[1] Πβ. Ψευδοδιογεν. 4. 2 καὶ Ἀποστόλ. 5. 72 καὶ τὸ corpus τῶν παροιμιογράφων 2. 72.

[2] Καὶ ἤρξατο λέγειν τὸν δημώδη λόγον· πτωχὸς μέριμναν μὴ ἐχέτω· γυμνὸς ἐξῆλθον ἐκ κοιλίας μητρός μου, γυμνὸς καὶ ἀπελεύσομαι ἐκεῖ (Διήγησις περὶ τοῦ βίου καὶ τῆς πολιτείας τοῦ μακαρίου Φιλαρέτου, Βυζαντινὰ Χρονικὰ 5. 73. 2.) Ἔγραψε δὲ καὶ ὁ Νικήτας Χωνιάτης (Χρον. Διήγ. 404. 9) γυμνὸς ὁποῖος πρώτως προσεῖπε τὸν ἥλιον τῆς μητρικῆς νηδύος ἐκθορών.

[3] Heinrich Lewy, Parallelen zu antiken Sprichwörtern und Apopthegmen (Philologus 58 (1899) 82).

[4] Ν. Πολίτου, Παροιμ. 4. 177, Ι. Βενιζέλου, Ἔνθ' ἀν. σ. 44 ἀρ. 18.

[5] Ed. Kurtz, Die Sprichwörtersammlung bei Eustathios von Thessalonike σ. 320.

[6] Νῦν ἐν Μάνῃ ἐπὶ τοῦ ἐν μεγάλῳ κινδύνῳ εὑρισκομένου λέγουσι «κρέμεται ἡ ζωή του ἀπὸ μιὰ μπαμπακερὴ κλωστή».

[7] Ἐν Ἠπείρῳ καὶ Λιβησίῳ. Πβ. καὶ Ι. Βενιζέλου, Παροιμίαι δημώδεις [2] σ. 28 ἀρ. 360 καὶ 361, Ι. Βερέττα, Συλλογὴ Παροιμιῶν σ. 15 ἀρ. 30, Μ. Μουσαίου, Βατταρισμοὶ σ. 145.

Ἡ δευτέρα παροιμιώδης φρ. εἶναι ἐπ' ἴσης συνήθης παρ' ἡμῖν, οἵτινες «παρὰ τρίχα» ἢ «ἀπὸ τρίχα»[1] λέγομεν πρὸς δήλωσιν διαφυγῆς μεγάλου κινδύνου.

* *Δαίμονα δὲ δώσειν φησί, κακὸν δῆλα δή... ἐντεῦθεν δ' ἴσως οἱ πολλοὶ τὸν θροήσαντά τινας ἐπὶ ἐκπλήξει δαίμονα δοῦναι τοῖς τεθαμβημένοις φασὶ 705.18.*

Εἰς τὴν φρ. δαίμονα δοῦναί τινι = ἐκταράττειν τινά, ἣν ἀναφέρει καὶ ὁ πρεσβύτερος Νικηφόρος ἐν τῷ βίῳ Ἀνδρέου τοῦ κατὰ Χριστὸν σαλοῦ[2], μόνον τὴν ἑξῆς δύναμαι νὰ δώσω ἑρμηνείαν.

Κατὰ τὸ ὑπ' ἀριθ. 1493 χειρόγραφον τῆς Ἐθνικῆς Βιβλιοθήκης Ἀθηνῶν καὶ ἐν φύλλῳ 181β «ἐπιληψία [νόσημα] ὅπερ οἱ ἰδιῶται δαίμονα καλοῦσι». Κατὰ ταῦτα δαίμονα δοῦναι σημαίνει παρέχειν τινὶ τοιαύτην ταραχὴν καὶ συσπασμόν, ὁποῖον πάσχει ὁ ὑπὸ δαίμονος, ἤτοι ἐπιληψίας καταλαμβανόμενος. Πβ. ἄλλως καὶ τὰς φράσεις «θά σε κάνω νά σε πιάση πιασμός», «διάολο θὰ φάς», «ἔφαγε τὸν πυρετό[3], τὴ ζάλη, τὸν περίδρομο», ἔνθα τὸ νόσημα παρίσταται ὡς ἀντικείμενον προσλαμβανόμενον οἱονεὶ ὑπὸ τοῦ νοσοῦντος.

* *Οὐκοῦν θέατρον γινόμεθα ἐπὶ γέλωτι καὶ γυμνικὸν οἷον ἆθλον τοῦτον ἀσχημοσύνης ἀνύομεν Opusc. 329.87.*

Κατὰ τὸν ΙΒ'. αἰῶνα σύνηθες ἦτο τὸ ρῆμα θεατρίζω ἐπὶ τῆς σημασίας τοῦ ἐκπομπεύω[4], ὡς καὶ παρ' ἡμῖν[5], ὁμοίως δὲ καὶ ἡ παροιμιώδης φράσις

---

[1] Ἐν Μακεδονίᾳ «παρὰ ράμμα» ἢ «ἀπὸ ράμμα» (Λαογρ. 6 σ. 486.) Ἐν Κρήτῃ «ἀπὸ τὴν τρίχα τσῆ μπαμπακερῆς κλωστῆς».

[2] Νικηφόρου πρεσβυτέρου Κωνσταντινουπόλεως, Βίος Ἀνδρέου τοῦ κατὰ Χριστὸν σαλοῦ (Migne, P. G. 111.649 c).

[3] *Καὶ φρῖξε, πιὲ τὸν πυρετόν, παῦσε τὰς φλυαρίας*

Hesseling-Pernot, Poèmes Prodromiques 3.358.

[4] Ν. Πολίτου, Ὑβριστικὰ σχήματα (Λαογρ. 4.646.) Ἐκτὸς τῶν αὐτόθι ἀναφερομένων χωρίων πβ. καὶ τὰ ἑξῆς τοῦ Ζωναρᾶ (Χρον. 14.7.25, 15.5) «τὰ λάφυρα τοῦ πολέμου διὰ μέσης τῆς πόλεως κομιζόμενα καὶ θεατριζόμενα» «διὰ τῆς ἀγορᾶς περιαγαγὼν καὶ θεατρίσας» «θεατρίζων ταύτην καὶ ἐμπομπεύων». Κατὰ τὸν Ἡσύχιον, ἐξεθεάτρισαν· ἐστηλίτευσαν, ἐξεπόμπευσαν. Ἐννοεῖται δ' ὅτι τὸ θεατρίζομαι ἐπὶ τῆς σημασίας ταύτης φέρεται ἤδη ἐν τῇ Κ.Δ. Ὁ Παῦλος π. χ. (πρὸς Ἑβραίους ι' 33) εἶπεν· ὀνειδισμοῖς καὶ θλίψεσι θεατριζόμενοι.

[5] Τὸ θεατρίζω ἐπὶ τῆς ἀνωτέρω σημασίας λέγεται καὶ νῦν ἐν Κεφαλληνίᾳ, Θήρᾳ, Κρήνῃ καὶ Σύρῳ.

«γίνομαι θέατρο», ἥτις ἐπ' ἴσης καὶ νῦν φέρεται[1]. Ὅτι τό τε ρῆμα καὶ ἡ φράσις ἐλήφθησαν ἐκ τῆς διαπομπεύσεως δὲν εἶναι ἀνάγκη, φρονῶ, ἐνταῦθα διὰ μακροτέρων ν' ἀναπτυχθῇ. Τὸν ἀναγνώστην παραπέμπω εἰς ὅσα σχετικὰ ἐσημείωσα ἐν τῇ μελέτῃ μου «ἀπὸ τὰ Βυζαντινὰ ἔθιμα»[2].

ΦΑΙΔΩΝ ΚΟΥΚΟΥΛΕΣ

---

[1] Ἐν ταῖς Κυκλάσι, Κρήτῃ, Μακεδονίᾳ καὶ Πόντῳ.

[2] Ἡμερολόγιον τῆς Μεγάλης Ἑλλάδος τοῦ 1928 σ. 362 καὶ 363.

ΑΝΘΙΜΟΥ ΑΘΗΝΩΝ ΛΟΓΟΣ ΑΝΕΚΔΟΤΟΣ ΠΕΡΙ ΤΩΝ ΤΟΥ ΑΓΙΟΥ ΠΝΕΥΜΑΤΟΣ ΠΡΟΟΔΩΝ [1].

Ἐν τῷ ὑπ᾿ ἀριθμὸν 30 (C. 3.16) κώδικι τῆς ἐν Ῥώμῃ Bibliotheca Angelica ἀπὸ φύλλου [2] 352^{β} - 358^{β} εὕρηται ἀνέκδοτος λόγος τοῦ Ἀθηνῶν Ἀνθίμου περὶ τῶν προόδων τοῦ ἁγίου Πνεύματος ὑπὸ τὴν ἐπιγραφὴν «Λόγος τοῦ ἁγιωτάτου πατρὸς ἡμῶν Ἀνθίμου, ἀρχιεπισκόπου Ἀθηνῶν, ὑπερτίμου καὶ ἐξάρχου πάσης Ἑλλάδος καὶ προέδρου Κρήτης, τοῦ νέου ὁμολογητοῦ, πρός τινα Ἰωσὴφ μοναχὸν ἐκδοθεὶς ἐκ λάκκου, ἑταῖρον καὶ συμπολίτην αὐτοῦ περὶ τῶν τοῦ ἁγίου Πνεύματος προόδων καὶ ὡς παρ᾿ ἑαυτοῦ ὁ υἱὸς οὐκ ἔχει τὸ Πνεῦμα, ἀλλὰ παρὰ τοῦ Πατρός, ὁ δὲ ἐπίλογος μετ᾿ εὐχῆς ὑπὲρ εἰρήνης καὶ ἑνώσεως τῶν ἐκκλησιῶν» [3].

---

[1] Ἐν τῷ προηγουμένῳ τόμῳ τῆς Ἐπετηρίδος τῆς Ἑταιρείας τῶν Βυζαντινῶν Σπουδῶν ἐξέδωκα τὸν ἀνέκδοτον λόγον τοῦ Ἀνθίμου Ἀθηνῶν εἰς τὴν γέννησιν τοῦ Χριστοῦ ὑποσχεθεὶς τὴν ἔκδοσιν καὶ τῶν λοιπῶν ἀνεκδότων ἔργων αὐτοῦ καὶ τῶν εἰς αὐτὸν ἀναφερομένων ὡς καὶ τὴν ἐπὶ τῇ βάσει τούτων ἐξακρίβωσιν τῶν ἀφορώντων εἰς τὸν βίον καὶ τὰ συγγράμματα αὐτοῦ (τόμ. Ζ′ τοῦ 1930 σ. 38 - 45.) Τὴν ὑπόσχεσιν ταύτην ἐκπληρῶν, ἐκδίδω ἐνταῦθα τὸν ἀνέκδοτον λόγον τοῦ Ἀνθίμου περὶ τῶν προόδων τοῦ ἁγίου Πνεύματος.

[2] Τὸ φύλλον 356^{α}, περιέχον ἄλλην ὕλην, ἔχει διαγραφῆ πιθανῶς ὑπὸ τοῦ γραφέως, τὸ δὲ 356^{β} ἔχει μείνει ἄγραφον οὕτως ὥστε ἡ συνέχεια τοῦ φύλλου 355^{β} εὕρηται ἐν τῷ φύλλῳ 357^{α}. Τὸ τέλος τοῦ διαγεγραμμένου φύλλου 356^{α} συμπίπτει πρὸς τὴν ἀρχὴν τοῦ φύλλου 352^{β} ἑπομένως τὸ διαγεγραμμένον φύλλον 356^{α} περιέχει πιθανῶς τὰ αὐτά, ἅπερ τὸ φύλλον 351^{β}, οὗτινος δυστυχῶς δὲν ἔχω φωτογραφικὸν ἀποτύπωμα.

[3] Ἐκ τῆς ἐπιγραφῆς τοῦ λόγου τούτου πληροφορούμεθα ὅτι ὁ Ἄνθιμος ἔγραψεν αὐτὸν εὑρισκόμενος ἐν Κρήτῃ ἐν τῷ λάκκῳ, τῷ δεσμωτηρίῳ, εἰς ὃν εἶχον φυλακίσει αὐτὸν οἱ δυτικοὶ ἕνεκα τῆς μὴ προσδοχῆς ὑπ᾿ αὐτοῦ τῶν δογμάτων αὐτῶν, καὶ ἀπέστειλε πρὸς τὸν μοναχὸν Ἰωσὴφ «ἑταῖρον καὶ συμπολίτην» αὐτοῦ, ὅστις πιθανώτατα εἶναι ὁ Ἰωσὴφ Φιλάγρης. Κατὰ ταῦτα ὁ Ἄνθιμος Ἀθηνῶν ὡς συμπολίτης Ἰωσὴφ τοῦ Φιλάγρη, τοῦ ἐκ Κρήτης καταγομένου, ἦτο Κρής. Καὶ ἐκ τούτου ἑπομένως δύναται νὰ ἐξηγηθῇ ἡ ὑπὸ τοῦ Οἰκουμενκιοῦ Πατριάρχου μετὰ τὴν ὑπὸ τῶν Κρητῶν διὰ πρεσβείας αἴτησιν πρὸς αὐτὸν ἀνάθεσις τῆς ἐκκλησίας τῆς Κρήτης εἰς τὸν ἐν Κωνσταντινουπόλει διατρίβοντα τότε Ἀθηνῶν Ἄνθιμον. Περὶ τῆς ἐν λάκκῳ φυλακίσεως τοῦ Ἀθηνῶν Ἀνθίμου παρέχει ἡμῖν πολυτίμους εἰδήσεις ὁ ἀνέκδοτος λόγος τοῦ Κωνσταντινουπόλεως Νείλου (1379 - 1387) «Εἰς τὸν ἅγιον πατέρα ἡμῶν Ἄνθιμον ἀρχιεπίσκοπον Ἀθηνῶν, τὸν ὁμολογητὴν» ὁ περιεχόμενος ἐν τῷ ὑπ᾿ ἀριθμὸν **243** κώδικι τῶν Παρισίων Coislin. φύλ. 191^{α} - 204^{β}. Τὰς εἰδήσεις ταύτας θὰ συνεπλήρου αὐθεντικῶς ἡ ἐπιστολὴ ἐκ λάκκου τοῦ Ἀνθίμου

Ὁ Ἄνθιμος ἐν τῷ λόγῳ τούτῳ συγκρίνων τὴν γέννησιν τοῦ υἱοῦ πρὸς τὴν πρόοδον τοῦ ἁγίου Πνεύματος εὑρίσκει ὅτι ὡς ἡ γέννησις τοῦ υἱοῦ εἶναι διττή, ἀΐδιος καὶ ἐν χρόνῳ (ὑπαρκτικὴ καὶ μεταδοτική), οὕτω καὶ ἡ πρόοδος τοῦ ἁγίου Πνεύματος, ὡς δὲ ἡ ἀΐδιος γέννησις τοῦ υἱοῦ προερχομένη ἐκ μόνου τοῦ Πατρὸς εἶναι ὑπέρχρονος καὶ ὑπὲρ αἰτίαν καὶ λόγον, ἡ δὲ ἐν χρόνῳ προερχομένη καὶ ἐκ τοῦ ἁγίου Πνεύματος εἶναι ὑπὸ χρόνον καὶ μετ᾿ αἰτίας, τῆς σωτηρίας δηλαδὴ ἡμῶν, οὕτω καὶ ἡ ἀΐδιος πρόοδος τοῦ ἁγίου Πνεύματος, ἣν ὁ Κύριος καλεῖ ἐκπόρευσιν, προερχομένη ἐκ μόνου τοῦ Πατρὸς εἶναι ὑπέρχρονος καὶ ὑπὲρ αἰτίαν καὶ λόγον, ἡ δὲ ἐν χρόνῳ προερχομένη καὶ ἐκ τοῦ υἱοῦ καὶ αὐτοῦ τοῦ ἁγίου Πνεύματος εἶναι ὑπὸ χρόνον καὶ μετ᾿ αἰτίας, τῆς διδασκαλίας δηλαδὴ τῆς ἀληθείας τοῖς μαθηταῖς, τῆς περὶ τοῦ Χριστοῦ μαρτυρίας καὶ δόξης καὶ καθόλου τῆς σωτηρίας ἡμῶν.

Ἡ ἀΐδιος πρόοδος τοῦ ἁγίου Πνεύματος καλεῖται ἐν τῇ ἁγίᾳ Γραφῇ καὶ ὑπὸ τῶν Ἑλλήνων πατέρων τῆς ἐκκλησίας ἐκπόρευσις, ἡ δὲ ἐν χρόνῳ πέμψις καὶ ἀποστολὴ (προϊέναι, προέρχεσθαι, ἐκφαίνεσθαι, ἐκλάμπειν, ἀναπηγάζειν, πεφηνέναι, χορηγεῖσθαι, δίδοσθαι, πέμπεσθαι, ἀποστέλλεσθαι, ἐκχεῖσθαι), διακρίνεται δὲ ἡ ἐκπόρευσις τῆς πέμψεως, καθόσον ἡ ἐκπόρευσις εἶναι ἡ ὑποστατικὴ διάκρισις τοῦ ἁγίου Πνεύματος δηλοῦσα τὸν τρόπον τῆς ὑπάρξεως αὐτοῦ. Οἱ Λατῖνοι ὅμως πατέρες διὰ τὸ στενὸν τῆς Λατινικῆς γλώσσης, μὴ ἔχοντες δύο διαφόρους λέξεις πρὸς παράστασιν τῶν δύο τούτων σαφῶς ἀπ᾿ ἀλλήλων διακρινομένων προόδων τοῦ ἁγίου Πνεύματος, μεταχειρίζονται μίαν καὶ τὴν αὐτὴν λέξιν, δι᾿ ἧς δηλοῦσι τήν τε ἐκπόρευσιν καὶ πέμψιν τοῦ ἁγίου Πνεύματος [1]. Μεταχειριζόμενοι ὅμως οἱ Λατῖνοι

πρὸς τὸν Ἰωσὴφ Φιλάγρην, ἡ περιεχομένη ἐν τῷ κώδικι 30 (C. 3.16) φύλ. 358^{β} τῆς Bibliotheca Angelica, ἐὰν μὴ δυστυχῶς ἔμενε κολοβή. Ἐν τέλει δηλαδὴ τοῦ φύλλου 358^{β} περιέχεται ἡ ἀκόλουθος ἐπιστολὴ τοῦ Ἀνθίμου πρὸς τὸν Ἰωσήφ.

«Τοῦ αὐτοῦ πρὸς τὸν αὐτὸν Ἰωσὴφ ἐπιστολὴ ἐκ τοῦ λάκκου.

Τίς μοι δώῃ τοῖς σοῖς, ὦ μακάριε, κἂν μικρὸν ἐφησθῆναι λόγοις; Ἤθελον ἂν συνδεθῆναί σοι ἐν οἷς οἰκεῖς ὄρεσιν ἢ σου λελυμένος οἰκεῖν ἐν πόλει. Τί γὰρ οἴει με πάσχειν, ἐν οἷς εἰμι μηδὲ ὁμιλίας ἀπολαύων πνευματικῆς, ὃ δὴ καὶ τὰς συμφορὰς μᾶλλον πάντως οἶδε κουφίζειν. Τίς μοι σύμβουλος ἔσται χρηστός, ἐπεὶ οὐχ ἱκανῶ τυχεῖν τοῦ Θεοῦ; Σφοδρά μου ἡ ἀνάγκη, ἀπαράκλητος ἡ λύπη· τοῦ Θεοῦ με γὰρ αἰτοῦντος δίκας οὐ πατὴρ οὐδ᾿ ἀδελφὸς ὁ παρακαλέσων ἐστίν. Οἴμοι, ἀδελφέ, ὅτι σώματι κατεκλείσθην ὑπὸ τὴν γῆν καὶ ἡ ψυχή μου ἐν Ἅδου μυχοῖς θρηνεῖ, ὅτι τὸν ἥλιον». Δυστυχῶς ἡ ἐπιστολὴ αὕτη μένει κολοβή, διότι ἐν φύλλῳ 359^{α} περιέχεται ἄλλη ὕλη. Τὸ φύλλον 359^{α} ἄρχεται «ἀληθεύει λέγων ὁ Σωτὴρ ὅτι παρὰ τοῦ πατρὸς τοῦτο πέμπει, διότι παρὰ τοῦ πατρὸς ἐκπορεύεται».

[1] Ἡ διαφορὰ τῆς ἐννοίας τῶν ῥημάτων ἐκπορεύεσθαι καὶ πέμπειν δὲν δύναται νὰ ἀποδοθῇ ἀκριβῶς ἐν τῇ Λατινικῇ διὰ τοῦ procedere καὶ mittere. Τοῦτο ἴσως ἠνάγκασε τὸν Αὐγουστῖνον νὰ μεταφράσῃ τὸ ἐκπορεύεσθαι ἐν ἀντιθέσει πρὸς τὸ πέμπειν διὰ τοῦ principaliter procedere.

πατέρες μίαν καὶ τὴν αὐτὴν λέξιν πρὸς δήλωσιν τῆς ἐκπορεύσεως καὶ πέμψεως τοῦ ἁγίου Πνεύματος διακρίνουσι τὰς δύο ταύτας προόδους τοῦ ἁγίου Πνεύματος, ὡς διακρίνουσι τὴν ὑπόστασιν καὶ οὐσίαν ἐν τῷ τριαδικῷ Θεῷ, εἰ καὶ αἱ δύο αὗται λέξεις συμπίπτουσι παρ᾽ αὐτοῖς[1].

Κατὰ ταῦτα ἡ διδασκαλία τῶν νεωτέρων Λατίνων, καθ᾽ ἣν τὸ πνεῦμα τὸ ἅγιον ἐκπορεύεται ἐκ τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ δὲν δύναται νὰ στηριχθῇ ἐπὶ τῆς ἁγίας Γραφῆς καὶ τῆς διδασκαλίας τῶν Πατέρων τῆς ἐκκλησίας, τὰ δὲ γραφικὰ χωρία, «ὃν ἐγὼ πέμψω ὑμῖν», «ἐκ τοῦ ἐμοῦ λήψεται», «λάβετε πνεῦμα ἅγιον» καὶ «πνεῦμα υἱοῦ», ἅτινα προσάγουσιν οἱ νεώτεροι Λατῖνοι πρὸς στήριξιν τῆς διδασκαλίας αὐτῶν οὐδὲν ἀποδεικνύουσι, διότι δὲν ἀναφέρονται εἰς τὴν ἀΐδιον πρόοδον τοῦ ἁγίου Πνεύματος, τὴν ἐκπόρευσιν, ἀλλ᾽ εἰς τὴν ἐν χρόνῳ, τὴν πέμψιν.

Κατὰ τὸν Ἄνθιμον ἡ διαφορὰ μεταξὺ τῆς ἀνατολικῆς καὶ δυτικῆς ἐκκλησίας ὡς πρὸς τὴν ἐκπόρευσιν τοῦ ἁγίου Πνεύματος ἐν τῇ ἀρχαιοτέρᾳ ἐκκλησίᾳ ἦτο διαφορὰ λέξεων καὶ οὐχὶ διδασκαλίας καὶ ἑπομένως εἶναι δυνατὴ καὶ εὐκταία ἡ ἕνωσις τῶν δύο ἐκκλησιῶν.

Τοιοῦτον ἐν συντομίᾳ τὸ περιεχόμενον τοῦ λόγου τούτου τοῦ Ἀνθίμου, ἐξ οὗ καταφαίνεται ἡ πολυμάθεια, ἡ κριτικὴ δύναμις καὶ ἡ ἀντικειμενικότης τοῦ συγγαφέως. Ἡ ψύχραιμος ἐξέτασις τοῦ θέματος, ὁ σεβασμὸς πρὸς τὴν δυτικὴν ἐκκλησίαν καὶ αἱ εὐχαί, αἱ εἰλικρινεῖς καὶ ἐγκάρδιοι, περὶ εἰρηνεύσεως τῶν δύο ἐκκλησιῶν ἀποδεικνύουσιν ὅτι ὁ συγγραφεὺς τοῦ παρόντος λόγου διέκειτο εὐμενῶς πρὸς τὴν δυτικὴν ἐκκλησίαν καὶ δὲν κατεδιώκετο, τοὐλάχιστον ἀπηνῶς, ὑπ᾽ αὐτῆς διατελῶν πεφυλακισμένος ἐν λάκκῳ καὶ ἐστερημένος τῶν πάντων. Οὕτως ἐχόντων τῶν πραγμάτων πρέπει νὰ ἀρνηθῶμεν τὴν ὑπὸ τοῦ Ἀνθίμου συγγραφὴν τοῦ παρόντος λόγου ἢ νὰ θεωρήσωμεν τὴν περιγραφὴν τῶν ἐν φυλακῇ κακώσεων αὐτοῦ ὡς ῥητορικὰς ὑπερβολὰς τοῦ συγγραφέως τοῦ λόγου εἰς τὸν ἅγιον πατέρα ἡμῶν Ἄνθιμον, ἀρχιεπίσκοπον Ἀθηνῶν, τὸν ὁμολογητήν; Τὸ δεύτερον, ὡς νομίζω, εἶναι τὸ ὀρθότερον.

Ἐκδίδων κατωτέρω τὸν ἀνέκδοτον τοῦτον λόγον τοῦ Ἀνθίμου, σημειῶ ὅτι σφάλματά τινα τοῦ κειμένου, ἐλάχιστα, διώρθωσα νομίσας περιττὸν νὰ ἀναφέρω αὐτά.

[1] Ἐπειδὴ ἐν τῇ Λατινικῇ γλώσσῃ τὸ substantia καὶ essentia εἶναι ταυτόσημα, δηλοῦσι δηλαδὴ ἀμφότερα οὐσίαν, ἐπεκράτησεν ἐν τῇ δυτικῇ ἐκκλησίᾳ περὶ τοῦ τριαδικοῦ Θεοῦ ὁ τύπος «μία οὐσία ἐν τρισὶ προσώποις», ἐν ἀντιθέσει πρὸς τὴν ἀνατολικήν, ἐν ᾗ, πρὸς ἀπόκρουσιν τοῦ Σαβελλιανισμοῦ, τοῦ ἐκλαμβάνοντος τὸ πρόσωπον ἐν τῇ ἐννοίᾳ τοῦ προσωπείου, ἐπικρατεῖ ὁ τύπος «μία οὐσία ἐν τρισὶν ὑποστάσεσιν».

Λόγος τοῦ ἁγιωτάτου πατρὸς ἡμῶν Ἀνθίμου ἀρχιεπισκόπου Ἀθηνῶν, ὑπερτίμου καὶ ἐξάρχου πάσης Ἑλλάδος καὶ προέδρου Κρήτης, τοῦ νέου ὁμολογητοῦ, πρός τινα Ἰωσὴφ μοναχὸν ἐκδοθεὶς ἐκ λάκκου, ἑταῖρον καὶ συμπολίτην αὐτοῦ περὶ τῶν τοῦ ἁγίου Πνεύματος προόδων καὶ ὡς παρ᾽ ἑαυτοῦ ὁ υἱὸς οὐκ ἔχει τὸ πνεῦμα, ἀλλὰ παρὰ τοῦ πατρός, ὁ δ᾽ ἐπίλογος μετ᾽ εὐχῆς ὑπὲρ εἰρήνης καὶ ἑνώσεως τῶν ἐκκλησιῶν.

Καλῶς ἐρευνᾶν τὰς Γραφὰς ὁ Κύριος ἐνετείλατο καὶ μὴ παροδικῶς ἀναγινώσκειν αὐτάς, ὡς ἐν τῇ ἐρεύνῃ καὶ ἐπιστημονικῇ τούτων ἀναγνώσει δυνατῆς οὔσης εὑρεθῆναι τῆς ἀληθείας, δι᾽ ἧς ἐπιτυχεῖν ἡμῖν ἐστι ζωῆς αἰωνίου. Διττὴν γὰρ ἡμῖν παραδείκνυσιν ὥσπερ τὴν τοῦ υἱοῦ γέννησιν, οὕτω δὴ καὶ τὴν τοῦ πνεύματος πρόοδον ὁ λόγος τῆς ἁγίας Γραφῆς· ὡς γὰρ ἄλλη μὲν ἡ ἐκ τοῦ Θεοῦ καὶ πατρὸς γέννησις τοῦ υἱοῦ, ἄλλη δὲ ἡ ἐξ ἀνθρώπου, ἤτοι τῆς ἀειπαρθένου μητρός, καὶ ἡ μὲν κατὰ τὴν θεότητα καὶ ὑπέρχρονος, ἡ δὲ κατὰ τὴν σάρκα καὶ ὑπὸ χρόνον. Καὶ ἡ μὲν ὑπέρχρονος ὑπὲρ αἰτίαν καὶ λόγον· οὐ γάρ ἐστι τοῦ λόγου λόγος ἀνώτερος, ὡς ὁ θεολόγος φησὶ Γρηγόριος, ὅτι οὐδὲ δύναταί τις εὑρεῖν οὗ ἕνεκα γεννᾶται ὁ υἱὸς ἀπὸ τοῦ πατρός, δι᾽ αἰτίαν δὲ ἡ ὑπὸ χρόνον, ἥτις ἐστὶν ἡ σωτηρία ἡμῶν. Καὶ ἐκείνη μὲν οὐ πρός τινας, ἡ ἀναίτιος, ὅτι μηδὲ ἦν τι τῶν ὄντων τῷ Θεῷ συναΐδιον, πρὸς τὸν κόσμον δ᾽ αὕτη καὶ τοὺς ἀνθρώπους· ἡμῖν γὰρ ἐγεννήθη παιδίον καὶ ἡμῖν ἐδόθη ὁ προφήτης φησί. Καὶ ὁ Κύριος ἅμα καὶ ἄμφω τὰς γεννήσεις αὐτοῦ ὑποδεικνὺς ἡμῖν· ἐξῆλθον, εἶπε, παρὰ τοῦ πατρός, ἰδοὺ ἡ μία, καὶ ἐλήλυθα εἰς τὸν κόσμον, ἰδοὺ ἡ ἑτέρα, ἥτις καὶ πρὸς τὸν κόσμον, τῆς ἄλλης μὴ πρός τινα οὔσης. Καὶ ἡ μὲν ἐκ τοῦ πατρός, οὐκ ἐκ τοῦ πνεύματος· ἐκ μόνου γὰρ γεννᾶται τοῦ πατρὸς ὁ υἱός, ἡ δὲ ἐκ τῆς μητρὸς καὶ ἐκ τοῦ πνεύματος, εἰ καὶ μὴ γεννητικῶς, ἀλλὰ δημιουργικῶς· διὸ καὶ ἐν τῷ συμβόλῳ τῆς πίστεως ἐκ πνεύματος ἁγίου καὶ Μαρίας τῆς παρθένου αὐτὸν σαρκωθῆναι ὁμολογοῦμεν. Τὸν αὐτὸν δὴ τρόπον ἐστὶν ἰδεῖν καὶ ἐπὶ τοῦ πνεύματος τοῦ ἁγίου, ἄλλην μὲν τὴν ἐκ Θεοῦ καὶ πατρὸς προΰπαρξιν αὐτοῦ καὶ πρόοδον, ἣν καὶ ἐκπόρευσιν ὁ Κύριος ὀνομάζει, ἑτέραν δὲ τὴν αὐτοῦ μετάδοσιν, ἃς καί τινες διαστέλλοντες τὴν μὲν ὑπαρκτικήν, τὴν δὲ μεταδοτικὴν ὠνόμασαν. Ἡ μὲν γὰρ τούτων ὑπέρχρονός ἐστιν, ἡ ἐκ τοῦ Θεοῦ καὶ πατρὸς τοῦ πνεύματος τοῦ ἁγίου πρὸς τὸ εἶναι ἐκπόρευσις, καὶ πρὸ πάντων ἐστὶν αἰώνων· οὐ γὰρ ἦν ποτε, ὅτε οὐκ ἐξεπορεύετο πνεῦμα ἐκ τοῦ πατρός, ἀλλ᾽ ἦν ἀεὶ ἐκπορευτὸν ἐξ αὐτοῦ. Ὑπὸ χρόνον δὲ ἡ τούτου μετάδοσις καὶ ἀποστολή· ἰδοὺ γὰρ Ἰωὴλ ὁ προφήτης καὶ ἔσται, φησίν, ἐν ταῖς ἐσχάταις ἡμέραις ἐκχεῶ ἀπὸ τοῦ πνεύματός μου. Καὶ ὁ Κύριος ἡμῶν οὐκ ἔπεμψα, οὐδὲ πέμπω, ἀλλὰ πέμψω φησίν, ὅπερ χρόνου σημαντικόν ἐστι μέλλοντος. Ὅμοιον δὲ καὶ τὸ ὅταν ἔλθῃ καὶ τὸ ἐὰν ἐγὼ μὴ ἀπέλθω, ὁ

παράκλητος οὐκ ἐλεύσεται, ἐξ ὧν φανερὸν ὑπὸ χρόνον εἶναι θατέραν τῶν
προόδων τοῦ πνεύματος αἰωνίου θατέρας οὔσης. Καὶ ἡ μὲν ὑπέρχρονος ὑπὲρ
πᾶσαν αἰτίαν καὶ λόγον, ἐπεὶ οὐκ ἔστιν εἰπεῖν, οὗ ἕνεκα τὸ πνεῦμα τὸ ἅγιον
ἐκπορεύεται ἀπὸ τοῦ πατρός, ἡ δὲ ἀποστολὴ αὐτοῦ δὴ τοῦ πνεύματος αἰτίαν
ἔχει δι᾽ ἥν, ἵνα πᾶσαν διδάξῃ τοῖς μαθηταῖς τὴν ἀλήθειαν, ἵνα ἀναγγείλῃ
πάντα αὐτοῖς, ὅσα οὐκ ἠδύναντο βαστάζειν, ὅτε ὁ Κύριος παρὼν ὡμίλει
αὐτοῖς, ἵνα μαρτυρήσῃ περὶ Χριστοῦ, καὶ δοξάσῃ αὐτόν. Καὶ ἡ μὲν ἀναίτιος
καὶ ὑπέρχρονος ἐκ τοῦ πατρὸς τοῦ πνεύματος ὕπαρξις οὔ τινι οὐδὲ πρός τινα
ἢ πρὸς μόνον τὸν υἱόν, ἐν ᾧ μένον ἦν ἀεί, ἔχον μέντοι τὸ εἶναι παρὰ τοῦ
πατρός, πρὸς Ἀποστόλους δὲ ἡ ἀποστολή, διὸ καὶ αὐτὸς ὁ Κύριος πέμψειν
αὐτὸ εἰπὼν προστίθησι τὸ ὑμῖν καὶ Ἰωὴλ περὶ ταύτης προλέγει λέγων ἐπὶ
πᾶσαν σάρκα, φησίν, ἐκχυθῆναι ἀπὸ τοῦ πνεύματος. Καὶ ἡ μὲν ὑπαρκτικὴ τοῦ
πνεύματος πρόοδος καὶ ἐκπόρευσις ἐκ μόνου ἐστὶν τοῦ πατρός· πόθεν γὰρ
ἄλλοθεν ὁ Κύριος ἔχει τὸ πνεῦμα, κἂν οὐκ ἐκ μετοχῆς, ἀλλὰ μένον ἀεὶ ἐν αὐτῷ
κατὰ φύσιν, οἷα καὶ κατὰ φύσιν υἱὸς καὶ οὐ θέσει, εἰ μὴ παρὰ τοῦ πατρὸς
μόνου, ἡ δὲ μεταδοτικὴ πρόοδος καὶ ἀποστολὴ οὐ παρὰ μόνου ἐστὶ τοῦ
πατρός, ἀλλὰ καὶ ἐξ αὐτοῦ τοῦ υἱοῦ, ἔτι τε καὶ ἀπ᾽ αὐτοῦ τοῦ πνεύματος· ὅρα
γάρ τί διατιθέμενός φησιν ὁ Κύριος, ἐπεὶ πρὸς τὸν ἑκούσιον καὶ ἀοίδιμον
θάνατον ἤδη ἡ ὥρα αὐτοῦ ἐλήλυθεν. Ὅταν δ᾽ ἔλθῃ ὁ παράκλητος, οὔπω
τοίνυν ἦλθεν, ἐλεύσεται δέ, ὅταν βούληται ὡς δεσπότης ἀφ᾽ ἑαυτοῦ· ἐπεὶ γὰρ
μέλλει εἰπεῖν, ὡς πέμψει τοῦτο αὐτοῖς, ἵνα μὴ νομίζωσι δοῦλον εἶναι προλα-
βὼν δείκνυσιν αὐτοῦ τὴν δεσποτείαν καί φησιν, ὅταν ἔλθῃ, ὡς κύριον καὶ
αὐτοδέσποτον. Εἰπὼν δὲ αὐτὸ παράκλητον δείκνυσιν ὁμοούσιον αὐτῷ καὶ
ἰσότιμον. Καὶ ἄλλον δὲ παράκλητόν φησιν αὐτὸ ἀλλαχοῦ χωρίζων αὐτοῦ τὴν
ὑπόστασιν, ὥσπερ δὴ καὶ διὰ τοῦ ὅταν ἔλθῃ, ἄλλον εἶναι παρ᾽ αὐτὸν τὸν ἤδη
ἐλθόντα καθ᾽ ὑπόστασιν μαρτυρεῖ. Ὁρᾷς ὅτι καὶ ἀφ᾽ ἑαυτοῦ καὶ οὐκ ἀπὸ
τοῦ υἱοῦ μόνου ἢ τοῦ πατρὸς προέρχεται ἐπὶ τὴν ἀποστολὴν καὶ πᾶσαν σάρκα
τὸ πνεῦμα. Μαθήσῃ καθαρώτερον τοῦτο ἀπὸ τῆς Ἰωὴλ προφητείας· τί γὰρ ὁ
Θεὸς καὶ πατὴρ ἐκεῖ φησι διὰ τοῦ προφήτου, οὐκ ἀπὸ τοῦ πνεύματός μου
ἐκχεῶ ἐπὶ πᾶσαν σάρκα; Οὐ τὸ πνεῦμά μου εἶπεν ἐκχεῶ, ἀλλ᾽ ἀπὸ τοῦ πνεύ-
ματός μου. Καὶ μὴν ἀμερές ἐστί τὸ πνεῦμα τὸ ἅγιον κατ᾽ οὐσίαν καὶ ἕν ἐστι
καθ᾽ ὑπόστασιν καὶ οὐ πολλά. Ὅθεν ἐστὶ νοῆσαι τὴν δωρεὰν καὶ τὴν χάριν
τοῦ παναγίου πνεύματος εἶναι τὴν παρὰ τοῦ πατρὸς ἐπηγγελμένην πάσῃ
σαρκί· αὕτη γὰρ ἡ ἀπὸ τοῦ πνεύματος χεομένη καὶ πνεύματα πληθυντικῶς
ἐν πολλοῖς ὀνομαζομένη ὡς τοῦ Ἡσαΐου ἐπαναπαύσεται ἐπ᾽ αὐτὸν ἑπτὰ πνεύ-
ματα, ὃ δὴ καὶ ὁ ἅγιος Γρηγόριος θεολογῶν ἐν τῷ εἰς τὴν Πεντηκοστὴν
αὐτοῦ λόγῳ οὕτως ἑρμηνεύων φησὶν τὰς ἐνεργείας τοῦ πνεύματος πνεύματα
φιλεῖσθαι τῷ Ἡσαΐᾳ καλεῖν. Ὃ οὖν ὁ πατὴρ διὰ τοῦ προφήτου ἐπηγγείλατο
ἐκχέειν ἀπὸ τοῦ πνεύματος αὐτοῦ ἐπὶ πᾶσαν σάρκα, τοῦτο ἦν τὸ ἤδη ἐκχυ-
θὲν ἐπὶ τοὺς Ἀποστόλους, καθὼς καὶ Πέτρος αὐτὸς ἐν ταῖς Πράξεσι μαρτυ-

ρεῖ, ὅπερ ἐστὶν ἡ τοῦ πνεύματος χάρις καὶ δωρεά, καθ᾽ ἣν καὶ λέγεται ἔλθῃ
ὁ παράκλητος, ὁ ἀεὶ πανταχοῦ παρὼν καὶ τὰ πάντα πληρῶν. Κατὰ ταύτην
ἄρα καὶ ὁ Κύριος πέμψειν τὸν παράκλητον ὑπισχνεῖτο, ὃς ἐκπορεύεται, τουτέ-
στι τὴν ὕπαρξιν ἔχει, παρὰ τοῦ πατρὸς μόνου, ὅθεν καὶ ὁ υἱός. Καθάπερ οὖν
ἐπὶ τοῦ Κυρίου τὸν αὐτὸν ὁμολογοῦμεν ἀπό τε τοῦ Θεοῦ καὶ πατρὸς ἀεὶ
γεννᾶσθαι καὶ ἀπὸ τῆς μητρὸς γεννηθῆναι ἐν ἡμέραις Ἡρώδου καὶ οὐκ ἄλλον
καὶ ἄλλον, ἀλλὰ ἀπὸ μὲν τοῦ πατρὸς κατὰ τὴν θεότητα, ἀπὸ δὲ τῆς μητρὸς
κατὰ τὴν σάρκα, οὕτω δὴ καὶ ἐπὶ τοῦ πνεύματος τοῦ ἁγίου τὸν αὐτὸν παρά-
κλητον πιστεύομεν παρά τε τοῦ πατρὸς ἀεὶ ἐκπορεύεσθαι καὶ παρὰ τοῦ υἱοῦ
πεμφθῆναι ἐν χρόνῳ. Ἀλλ᾽ ἐκπορεύεσθαι μὲν ἀπὸ τοῦ πατρός, καθόσον ἔχει
παρ᾽ ἐκείνου τὴν ὕπαρξιν, πεμφθῆναι δὲ παρὰ τοῦ υἱοῦ καὶ ἐλθεῖν ἀφ᾽ ἑαυ-
τοῦ κατὰ τὴν ἐκχυθεῖσαν ἀπ᾽ αὐτοῦ τοῦ πνεύματος δωρεάν. Ἀλλ᾽ ἐπαναλη-
πτέον τὸν λόγον, ὡς ἂν ἴδωμεν προφητικῶς προαναιροῦντα τὸν Κύριον τὴν
ἀνακύψασαν ἤδη δόξαν περὶ τῆς ἀπ᾽ αὐτοῦ ἐκπορεύσεως τοῦ ἁγίου πνεύματος.
Ὅταν δὲ ἔλθῃ ὁ παράκλητος, ὃν ἐγὼ πέμψω ὑμῖν παρὰ τοῦ πατρός. Ὃν ἐγὼ
πέμψω· εἰ γὰρ καὶ ἀφ᾽ ἑαυτοῦ μέλλει ἐλθεῖν ὡς αὐτοδέσποτον, ἀλλ οὐκ ἔξω
τῆς ἐμῆς ἐλεύσεται γνώμης· ἓν γὰρ ἐμοῦ κἀκείνου τὸ θέλημα, διὸ φημὶ ἐγὼ
μέλλω πέμψειν αὐτὸ πρὸς ὑμᾶς. Καὶ ἵνα μή τις ἀκούσας ὅτι πεμφθήσεται
παρ᾽ αὐτοῦ καὶ αὐτὸν ἀρχὴν καὶ αἰτίαν εἶναι νομίσῃ τοῦ πνεύματος κατὰ τὸν
πατέρα καὶ ἐκπορεύεσθαι παρ᾽ αὐτοῦ τὸ πνεῦμα καθὼς ἀπὸ τοῦ πατρὸς προσ-
τίθησι τῷ πέμψω τὸ παρὰ τοῦ πατρός, τουτέστιν εἰ καὶ πέμψω αὐτὸ ὑμῖν ἐγώ,
ἀλλ᾽ οὐ πέμψω παρ᾽ ἐμοῦ, ἀλλὰ παρὰ τοῦ πατρός· εἰ γὰρ πέμψειν ἔμελλον αὐτὸ
παρ᾽ ἐμοῦ, νῦν μᾶλλον ὑμῖν ἔδωκα ἂν αὐτό, πρὸ τοῦ με ἀπελθεῖν, ἔτι ὢν σὺν
ὑμῖν, ἀλλ᾽ ὅταν ἐγὼ ἀπέλθω πρὸς τὸν πατέρα μου, τότε παρ᾽ ἐκείνου πέμψω ὑμῖν
αὐτό. Καὶ διατί δι᾽ ἐκείνου, Κύριε, πέμψεις ἡμῖν τὸ πνεῦμά σου καὶ οὐ παρὰ
σαυτοῦ; Ὅτι παρὰ τοῦ πατρός, φησιν, ἐκπορεύεται, τουτέστι παρ᾽ ἐκείνου ἔχει
τὴν ὕπαρξιν. Εἶπον δὲ πέμψειν ὑμῖν τοῦτο ἐγὼ ὅτι ἐγὼ ἐρωτήσω καὶ παρα-
καλέσω τὸν πατέρα, ὅταν πρὸς αὐτὸν ἀπέλθω, κἀκεῖνος ὑπ᾽ ἐμοῦ παρακινη-
θεὶς πέμψει ὑμῖν αὐτὸ ἐν τῷ ὀνόματί μου, ἵνα μένῃ μεθ᾽ ὑμῶν εἰς τὸν αἰῶνα
καὶ παρακαλῇ ὑμᾶς ἀντ᾽ ἐμοῦ οἷα παράκλητος ἄλλος. Ἔτι τε ὅτι οὐχ ἡ ἀπο-
στολή ἐστιν ἡ ἐκπόρευσις, ἀλλὰ τρόπος ὑπάρξεως τοῦ πνεύματος, τὸ ἐκπο-
ρεύεσθαι ἐκ τοῦ πατρὸς τὸ πνεῦμα μόνου τοῦ ἁγίου πνεύματος ὑποστατικόν
ἐστι γνώρισμα, τὸ δὲ ἀπεστάλθαι οὐκ ἴδιον τοῦ πνεύματος· ἀπεστάλη γὰρ
καὶ ὁ Κύριος καὶ οὐ παρὰ τοῦ πατρὸς μόνου, ἀλλὰ δὴ καὶ παρ᾽ αὐτοῦ τοῦ
πνεύματος· φησὶ γὰρ ὡς ἐκ προσώπου τοῦ υἱοῦ ὁ προφήτης· Κύριος ἀπέ-
σταλκέ με καὶ τὸ πνεῦμα αὐτοῦ. Ἰδοὺ καὶ ὁ Κύριος ἀπεστάλθαι παρὰ
πατρὸς καὶ πνεύματος λέγεται, ἀλλ᾽ οὐκ ἔκ τινος αὐτῶν ἐκπορεύεται. Ἄλλο
ἄρα ἀποστολὴ καὶ ἄλλο ἐκπόρευσις. Ἔτι ὅτε ἀπεστάλη τὸ πνεῦμα παρὰ
πατρὸς καὶ υἱοῦ, τότε καὶ ἀφ᾽ ἑαυτοῦ ἐλθεῖν λέγεται, ὡς κύριον καὶ αὐτοδέ-
σποτον, τὸ δὲ ἐλθεῖν καὶ πατρὶ καὶ υἱῷ κοινόν. Ἰδοὺ γὰρ ὁ Κύριός φησιν,

ἐγὼ καὶ ὁ πατὴρ ἐλευσόμεθα, ἀλλ᾽ οὔτε ὁ υἱός, οὔτε μὴν ὁ πατὴρ ἔκ τινος
ἐκπορεύεται· ὥστε ἄλλο τὸ ἀπεστάλθαι καὶ ἐλθεῖν καὶ ἄλλο τὸ ἐκπορεύεσθαι.
Ἐπὶ μὲν γὰρ ἑαυτοῦ ὁ Κύριος τὸ πέμψω καὶ ἐν χρόνῳ εἴρηκε μέλλοντι, ὡς
οὐκ ἀεὶ ἀλλά ποτε πεμπομένου τοῦ πνεύματος καὶ κοινὸν τὸ πέμψειν
5 ἑαυτῷ καὶ τῷ πατρὶ ποιεῖται· πέμψειν γάρ φησιν αὐτὸ ὁ πατὴρ ἐν τῷ ὀνό-
ματί μου, ἐπὶ μόνου δὲ τοῦ πατρὸς τὸ ἐκπορεύεσθαι εἴρηκεν ἐκείνῳ μόνῳ
τὴν προβολὴν ἀποκληρώσας καὶ ἀναθεὶς τοῦ πνεύματος καὶ ἐν χρόνῳ
ἐνεστῶτι καὶ οὐκ ἐν μέλλοντι, ὡς ἀεὶ τοῦ πνεύματος ἐκπορευομένου ἐκ τοῦ
πατρὸς καὶ μήτε παρελθόντος μήτε μέλλοντος χρόνου τὸ σύνολον ἐκεῖ χώραν
10 ἔχοντος. Ἀλλὰ καὶ αὐτὸς ὁ διπλασιασμὸς τῆς ἐκ συλλαβῆς καὶ ἐπὶ τοῦ ὀνό-
ματος τοῦ πατρὸς καὶ ἐπὶ τῆς φωνῆς τοῦ πορεύεσθαι κείμενος ἱκανὸς ἡμῖν
δηλῶσαι αὐτὴν τὴν φυσικὴν τοῦ πατρὸς ὕπαρξιν διὰ τοῦ ἐκ πατρὸς ἐκπο-
ρεύεσθαι δείκνυσθαι· τὸ γὰρ παρὰ ἀντὶ τοῦ ἐκ οἱ πατέρες ὠνόμασαν, διὸ
καὶ ἐν τῷ τῆς ἱερᾶς ἡμῶν πίστεως συμβόλῳ τὸ ἐκ ἀντὶ τοῦ παρὰ ἔθηκαν τὸ
15 ἐκ τοῦ πατρὸς εἰπόντες ἐκπορευόμενον. Διὰ πολλῶν οὖν δειχθέντος δύο εἶναι
τὰς προόδους τοῦ πνεύματος, μίαν μὲν τὸ ἐξ αἰτίας αὐτοῦ ὑφεστάναι καὶ
πῶς ἔχειν τὴν ὕπαρξιν, ἐφ᾽ ἧς καὶ μόνης ὁ Κύριος τὴν φωνὴν τῆς ἐκπορεύ-
σεως εἴρηκεν, ἥτις καὶ ἄπειρός ἐστιν ὡς αἰώνιος καὶ οὐχ ἕνεκά του, ἐπεὶ
ὑπὲρ λόγον, καὶ οὐ πρός τι τῶν ὄντων, εἰ μή τις εἴποι πρὸς τὸν ἀεὶ ὄντα
20 υἱόν, καὶ ἐκ μόνου τοῦ πατρός, ἀφ᾽ οὗ καὶ μόνου κατὰ φύσιν ὁ υἱὸς ἔχει τὸ
πνεῦμα καὶ ἰδία μόνου τοῦ πνεύματος ὅτι καὶ μόνον ἐστὶν ἐκ τοῦ Θεοῦ καὶ
πατρὸς ἐκπορευτόν. Ἑτέραν δὲ τὴν πρὸς ἡμᾶς αὐτοῦ παρουσίαν καὶ ἔλευσιν
καὶ ἀποστολὴν κατὰ τὴν ἐκχυθεῖσαν ἀπ᾽ αὐτοῦ τοῦ πνεύματος δωρεάν, τὴν
ἐπ᾽ ἐσχάτου γεγονυῖαν τῶν ἡμερῶν, ἅπαξ δ᾽ ἐλθὸν τὸ πνεῦμα μένει μεθ᾽ ἡμῶν
25 εἰς τὸν αἰῶνα, ἣ καὶ ἕνεκα τῆς σωτηρίας ἡμῶν ἐγένετο καὶ πρὸς τοὺς Ἀπο-
στόλους καὶ δι᾽ αὐτῶν ἐπὶ πᾶσαν σάρκα καὶ οὐκ ἀπὸ μόνου τοῦ πατρός,
ἀλλὰ δὴ καὶ ἀπὸ τοῦ υἱοῦ καὶ ἀπ᾽ αὐτοῦ τοῦ ἁγίου πνεύματος καὶ οὐκ ἰδία
μόνου τοῦ πνεύματος, ἐπεὶ καὶ ὁ υἱὸς ἀπεστάλη, λέγει δὲ καὶ τὸν πατέρα
ἐλεύσεσθαι μετ᾽ αὐτοῦ καὶ μονὴν ποιήσειν παρὰ τοῖς τηροῦσι τὰς αὐτοῦ
30 ἐντολάς, δι᾽ ὧν πάντως φαίνεται τὴν μὲν ἐκ φύσεως εἶναι, τὴν προαιώνιον,
τὴν δ᾽ ἐν ἐσχάταις ἡμέραις ἐκ προαιρέσεως. Οἱ μὲν τὴν Ἑλλάδα γλῶσσαν
ἠσκημένοι πατέρες τῷ τε πλάτει καὶ κάλλει τῆς ἰδίας γλώσσης καλῶς διασα-
φοῦντες καὶ ἀπαγγέλλειν δυνάμενοι τὸ τῆς ψυχῆς αὐτῶν βούλημα καὶ περὶ
ἀμφοτέρων τῶν προόδων τοῦ πνεύματος ἰδίως καὶ διακεκριμένως ἐθεολόγη-
35 σαν, τὴν μὲν φωνὴν τῆς ἐκπορεύσεως μόνῃ τῇ ἀνάρχῳ τοῦ πατρὸς προόδῳ
φυλάξαντες κατὰ τὴν τοῦ Κυρίου φωνήν, ὃς ἡμῖν πρῶτος τῆς θεολογίας
ἐγεγόνει διδάσκαλος καὶ μόνῳ τῷ πατρὶ πανταχοῦ τὴν αἰτίαν ὁμολογοῦντες
τοῦ πνεύματος, ἄλλαις δὲ φωναῖς πλουσίαις καὶ διαφόροις τὴν πρὸς ἡμᾶς
κατὰ τὴν αὐτοῦ δωρεὰν καὶ χάριν παρουσίαν τοῦ πνεύματος ἀπαγγείλαντες
40 καὶ διὰ τοῦ υἱοῦ καὶ παρὰ τοῦ υἱοῦ ταύτας γεγονέναι διδάξαντες, ὁποῖόν ἐστι

τὸ προϊέναι, τὸ προέρχεσθαι, τὸ ἐκφαίνεσθαι, τὸ ἐκλάμπειν, τὸ ἀναπηγάζειν,
τὸ πεφηνέναι, τὸ χορηγεῖσθαι, τὸ δίδοσθαι, τὸ πέμπεσθαι, τὸ ἀποστέλλεσθαι,
τὸ ἐκχεῖσθαι καὶ τοιαῦτ᾽ ἕτερα, ἐφ᾽ ὧν τισι μὲν πρόσκειται καὶ ἡμῖν, ἐνίοτε
δὲ καὶ νοεῖται ἔξωθεν· αὗται γὰρ αἱ φωναὶ πᾶσαι γράφονται παρὰ τῶν ἡμε-
τέρων ἁγίων πατέρων περὶ τοῦ ἁγίου πνεύματος ἁπλῶς ἐπί τε τοῦ πατρὸς 5
καὶ ἐπὶ τοῦ υἱοῦ, ἡ δὲ φωνὴ τῆς ἐκπορεύσεως ὡς δηλοῦσα τὴν ἐκ μόνου
τοῦ πατρὸς τοῦ πνεύματος ὕπαρξιν οὐδέποτε εὕρηται ἐν πᾶσι τοῖς τῶν ἁγίων
συγγράμμασιν ἐπὶ τοῦ υἱοῦ. Οἱ δὲ Ρωμαῖοι πατέρες διὰ τὸ στενὸν οἶμαι τῆς
γλώττης διακεκριμένως ταύτας τὰς διαφόρους προόδους τοῦ πνεύματος παρα-
δοῦναι μὴ δυνηθέντες ὡς περὶ μιᾶς περὶ ἀμφοτέρων θεολογοῦσιν. Ὅθεν 10
καὶ τῇ φωνῇ τῆς ἐκπορεύσεως καὶ ἐπὶ τοῦ υἱοῦ τινες αὐτῶν χρῶνται ἀδια-
φόρως. Καὶ νῦν ἡ τῶν Λατίνων ἐκκλησία παρ᾽ ἡμῶν ἀπαιτουμένη δεῖξαι ἢ
ἀπὸ τοῦ ἁγίου Εὐαγγελίου ἢ ἀπὸ τῶν ἁγίων Ἀποστόλων ἢ ἀπὸ τῶν οἰκου-
μενικῶν συνόδων κἂν μίαν γραφικὴν μαρτυρίαν ρητῶς λέγουσαν ὅτι ἐκπο-
ρεύεται ἀπὸ τοῦ υἱοῦ τὸ πνεῦμα τὸ ἅγιον καὶ μὴ ἔχοντες δεῖξαι, τὸ ὃν ἐγὼ 15
πέμψω ὑμῖν προβάλλονται καὶ τὸ ἐκ τοῦ ἐμοῦ λήψεται καὶ τὸ ἐμφύσημα
καὶ τὸ πνεῦμα τοῦ υἱοῦ καὶ ἄλλα τοιαῦτα, ὧν οὐδὲν τῇ ἐκπορεύσει ἐφαρμόζει
τοῦ πνεύματος. Τὸ μὲν γὰρ πέμψω περὶ τῆς ἐν χρόνῳ πρὸς ἡμᾶς παρου-
σίας φησὶ τοῦ πνεύματος, τὸ δὲ λήψεται καὶ αὐτοῦ χρόνον σημαίνοντος
μέλλοντα ἔτι καὶ τίνος χάριν ὁ Κύριος αὐτὸ εἴρηκεν ἑρμηνεύει λέγων πάντα 20
ὅσα ἔχει ὁ πατὴρ ἐμά ἐστι, διὰ τοῦτο εἶπον, ἐκ τοῦ ἐμοῦ λαμβάνει καὶ ἀναγ-
γελεῖ ὑμῖν. Ὃ δὲ ὁ Κύριος λέγει, τοιοῦτόν ἐστιν, εἶπεν ὁ Κύριος περὶ ἑαυ-
τοῦ ὅτι ἡ διδαχή, ἣν διδάσκω ἐγὼ ὑμῖν, οὐκ ἔστιν ἐμή, ἀλλὰ τοῦ πέμψαντός
με καὶ πάλιν ἀλλ᾽ ἐγὼ ὑμῖν ἀπ᾽ ἐμαυτοῦ οὐ λαλῶ καὶ πάλιν ἃ ἤκουσα παρὰ
τοῦ πατρός μου, ἐκεῖνα εἶπον ὑμῖν καὶ ἐντολὴν ἔλαβον τί εἴπω καὶ τί λαλήσω 25
καὶ τοιαῦτα ἕτερα. Ἵνα οὖν μή τις ἀκούσας τὸ ἐκ τοῦ ἐμοῦ λήψεται τὸ
πνεῦμα νομίσῃ τὸν μὲν υἱὸν ἀπὸ τοῦ πατρὸς λαμβάνειν, ἃ λέγει, τὸ δὲ
πνεῦμα μὴ παρὰ τοῦ πατρός, ἀλλὰ παρὰ τοῦ υἱοῦ λαμβάνει, ἅπερ ἂν ἐλθὸν
εἴποι, θεραπεύει τὸν λόγον καί φησιν, ὅθεν ἔλαβον ἐγὼ ἅπερ λέγω, ἐκεῖθεν
καὶ τὸ πνεῦμα λήψεται ἅπερ ἐρεῖ πρὸς ὑμᾶς. Εἶπον δὲ λήψεσθαι αὐτὸ ἐκ 30
τοῦ ἐμοῦ καὶ διδάξειν ὑμᾶς, ἐπεὶ εἷς ἐστιν ὁ λόγος καὶ μία ἡ διδαχὴ ἐμοῦ τε
καὶ τοῦ πατρός, καὶ ἅπερ εἶπον ἐγὼ πρὸς ὑμᾶς, τὰ αὐτὰ κἀκεῖνος ἐρεῖ. Τί δὲ
πρὸς τὴν ἐκπόρευσιν ταῦτα, εἰ διότι ἐκ τοῦ υἱοῦ λαμβάνει, ἐκπορεύεται ἐξ
ἐκείνου καὶ οἱ λαβόντες ἐκ τοῦ πληρώματος τοῦ Κυρίου ὁμοίως ἔσονται
ἐκπορευτοὶ ἀπὸ τοῦ Κυρίου καὶ τί πλέον ἐκείνων ἔχει τὸ πνεῦμα· οὕτω γάρ 35
φησιν ὁ Ἰωάννης ἐκ τοῦ πληρώματος αὐτοῦ ἡμεῖς πάντα ἐλάβομεν. Εἰ δὲ
μὴ ἐκπορευτῶς οὗτοι τὴν ὕπαρξιν ἔχουσιν ἀπὸ τοῦ Κυρίου, οὐδὲ τὸ πνεῦμα
ἐκπορεύεται ἀπ᾽ αὐτοῦ, ὅτι λαμβάνει ἀπὸ τοῦ αὐτοῦ. Πῶς δ᾽ ἂν καὶ τὸ
ἐμφύσημα τὸ πνεῦμα τὸ ἅγιον νομίσει τις, ὅτι αὐτὸς ὁ Κύριος εἶπε μὴ ἐλθεῖν
πρὸς τοὺς μαθητὰς τὸν παράκλητον, εἰ μὴ αὐτὸς ἀπελθὼν πρὸς τὸν πατέρα 40

παρ᾽ ἐκείνου πέμψει τοῦτον αὐτοῖς. Ἀλλ᾽ ἴσως ἂν εἴποι τις καὶ μὴν αὐτὸς ἐμφυσήσας λάβετέ φησι πνεῦμα ἅγιον. Ναὶ πνεῦμα ἅγιον ἀληθῶς εἶπεν ἄρθρου χωρίς, δι᾽ οὗ δηλοῦται ἕν τι τῶν χαρισμάτων τοῦ ἁγίου πνεύματος, τὸ λύειν καὶ δεσμεῖν ἁμαρτίας, ἀλλ᾽ οὐκ αὐτὸς ὁ παράκλητος, ἃ πνευματικὰ χαρίσματα κοινὰ τῶν τριῶν εἰσιν ὑποστάσεων καὶ φυσικῶς πρόσεισιν ἀεὶ τῷ Θεῷ καὶ κοινῶς καὶ ἀχωρίστως παρὰ τῶν τριῶν μεταδίδονται τοῖς ἀξίοις τῆς αὐτῶν μεταλήψεως. Ἀλλ᾽ οὐδ᾽ ὅτι πνεῦμα υἱοῦ λέγεται, ἀνάγκη εἶναι καὶ ἐκ τοῦ υἱοῦ, ἐπεὶ οὐ πᾶν τό τινος καὶ ἔκ τινος. Ἰδοὺ γὰρ ὁ ἀδελφός μου ἐμοῦ μέν ἐστιν, ἀλλ᾽ οὐκ ἐξ ἐμοῦ καὶ ὁ πατήρ μου ἐμοῦ μέν ἐστιν, ἀλλ᾽ οὐκ ἐξ ἐμοῦ καὶ ὁ οἶκός μου καὶ πᾶν ὃ ἂν εἴποι τις. Ὃ δέ ἐστιν ἔκ τινος τὴν ὕπαρξιν ἔχον, τοῦτο καὶ αὐτοῦ ἐστιν ἐξ ἀνάγκης, διὸ καὶ ἡμεῖς μετὰ τῶν πατέρων πνεῦμα υἱοῦ λέγομεν, ἐκ τοῦ υἱοῦ δὲ οὐ λέγομεν ὅτι ἄλλο τὸ εἰπεῖν τοῦ υἱοῦ καὶ ἄλλο τὸ ἐκ τοῦ υἱοῦ. Καὶ τὸ πάντα δ᾽ ὅσα ἔχει ὁ πατὴρ ἐμά ἐστιν ὁμοίως οὐδὲν πρὸς τὴν ἐκπόρευσιν νοεῖται τοῦ πνεύματος ὅτι περὶ τῶν φυσικῶν φησι καὶ κοινῶν τοῖς τρισίν. Εἰ δ᾽ ἁπλῶς τὸ πάντα νοήσωμεν ἓν πάντων, ὧν ἔχει ὁ πατήρ, καὶ τὸ γεννᾶν καὶ τὸ ἀναίτιον ὁμοίως. Ἀλλ᾽ οὐδὲν τούτων ἔχει ὁ υἱός. Τοιοῦτόν ἐστι καὶ τὸ προβάλλειν. Ἔχει οὖν καὶ πάντα τὰ φυσικά, ὅσα ἔχει ὁ πατήρ, καὶ οὔτε γεννᾷ οὔτε προβάλλει. Διὰ τοῦτο εἶπον ὅτι ἀπαιτούμενοι παρ᾽ ἡμῶν κἂν μίαν γραφικὴν μαρτυρίαν ἀπὸ τῶν θεοπνεύστων Γραφῶν καὶ μηδὲν ἔχοντες προβάλλονται ταῦτα οὐδὲν τῇ ἐκπορεύσει τοῦ πνεύματος ἐφαρμόζοντα καταφεύγουσί τε πρὸς τοὺς Ῥωμαίους πατέρας κοινὴν ποιουμένους τὴν φωνὴν τῆς ἐκπορεύσεως καὶ ἀμφοτέραις ταῖς προόδοις τοῦ πνεύματος. Οὐ μὴν ἀλλὰ καὶ πρὸς τοὺς ἡμετέρους καὶ Ἕλληνας, ἐν οἷς περὶ τῆς πρὸς ἡμᾶς τοῦ πνεύματος παρουσίας ἐθεολόγησαν. Ἀλλ᾽ ἡμεῖς καὶ ταῖς τῶν Ῥωμαίων πατέρων φωναῖς θεολόγον καὶ ὁμολογητὴν ἑρμηνέα καὶ ἐξηγητὴν ἐπιστήσαντες καὶ χεῖρα καὶ γλῶτταν ὑπὲρ τῆς εὐσεβείας ἐκτετμημένον μετ᾽ ἐκείνου ὡς ἐκεῖνος ταύτας δεξόμεθα μηδόλως τὸν υἱὸν αἴτιον τοῦ πνεύματος ἐννοήσαντος καὶ ταῖς τῶν Ἑλλήνων πατέρων ῥήσεσι συμφωνήσομεν μόνην πηγὴν καὶ μόνον αἴτιον τὸν πατέρα καὶ φρονοῦντες καὶ ὁμολογοῦντες τοῦ τε υἱοῦ μόνου καὶ μόνου πνεύματος, ἐπεὶ καὶ μόνος ὁ υἱὸς γεννᾶται ἐξ αὐτοῦ μόνου καὶ παρ᾽ αὐτοῦ μόνου τοῦ πατρὸς μόνον τὸ πνεῦμα τὸ ἅγιον ἐκπορεύεται. Εἰ γὰρ καί φησι προϊέναι καὶ προέρχεσθαι καὶ δίδοσθαι καὶ πέμπεσθαι καὶ ἀποστέλλεσθαι καὶ ἐκλάμπειν καὶ ἐκχεῖσθαι καὶ ἐκφαίνεσθαι καὶ πεφηνέναι καὶ ἀναπηγάζειν καὶ χορηγεῖσθαι διὰ τοῦ υἱοῦ καὶ παρὰ τοῦ υἱοῦ ἡμῖν τὸ πνεῦμα τὸ ἅγιον, περὶ τῆς πρὸς ἡμᾶς τοῦ πνεύματος παρουσίας ταῦτα λέγουσι καὶ ἵνα τὸ συναφὲς τῆς οὐσίας υἱοῦ καὶ πνεύματος δείξωσι τοῖς τι ξένον τῆς θεότητος τὸ πνεῦμα φρονοῦσιν, εἰ καὶ τάχα δοκοῦσιν εὐσεβεῖν περὶ τὸν υἱόν, καὶ τοῖς Θεὸν μὲν τὸ πνεῦμα ὁμολογοῦσι, τὸν δὲ Χριστὸν ψιλὸν ἄνθρωπον οἰομένοις καὶ ὡς ξένῳ καὶ ἀλλοτρίῳ τῆς ἰδίας φύσεως τῷ ἁγίῳ Πνεύματι χρώμενον τὰς θεο-

σημίας τελοῦντα· πρὸς γὰρ ἐκείνους οἱ πατέρες ἀγωνιζόμενοι ἐκ τῆς ἰδίας φύσεως τὸ πνεῦμα χορηγεῖν ἡμῖν ἔφασαν τὸν υἱὸν ἅμα μὲν τῷ υἱῷ τὸ πνεῦμα δεικνύντες ὁμοφυές, ἅμα δὲ καὶ τῷ πνεύματι ὁμοούσιον κατὰ τὴν θεότητα τὸν Χριστόν, οὔκουν αἴτιον ἢ μείζονα τοῦ πνεύματος τὸν υἱόν. Καὶ σκοπῶμεν ἡμεῖς εἰς ὅσην καταστάντες οἱ πατέρες ἀνάγκην οὐδείς ποτε τετόλμηκεν εἰπεῖν ἐκπορεύεσθαι παρὰ τοῦ υἱοῦ τὸ πνεῦμα καὶ σφόδρα γε εἰδότες τὴν φωνὴν ταύτην τῆς ἐκπορεύσεως ἐπὶ μόνης τῆς ὑπαρκτικῆς προόδου τοῦ πνεύματος εἰρημένην παρὰ τοῦ Σωτῆρος καὶ μόνῳ τῷ πατρὶ τηρουμένην. Καὶ οἱ Ῥωμαῖοι δὲ πατέρες τὸ αὐτὸ τοῖς ἡμετέροις ἐσκόπουν ὥστε καὶ τὸ πνεῦμα συμφυὲς τῷ υἱῷ δεῖξαι θεῷ καὶ τῷ πατρὶ ἴσῳ προαποδεδειγμένῳ, καὶ αὖθις τὸν Χριστὸν ὡς ἰδίου καὶ οὐκ ἀλλοτρίου κατὰ τὸν τῆς οὐσίας λόγον τῷ πνεύματι τὰς θεοσημίας τελεῖν. Εἰ δέ τις καὶ τὰς βίβλους αὐτῶν ἀκριβέστερον ἐξετάσει καὶ τὴν γλῶσσαν ἐκείνων εἰδώς, εὕροι ἂν αὐτοὺς συμφθεγγομένους τοῖς ἡμετέροις κατὰ πάντα πατράσι καὶ μόνην τὸν πατέρα πηγὴν καὶ ῥίζαν καὶ ἀρχὴν καὶ αἰτίαν τῆς τε τοῦ υἱοῦ ὑποστάσεως καὶ τῆς ἐν αὐτῷ τοῦ πνεύματος ὑπάρξεως δι᾽ ἄλλων φωνῶν θεολογοῦντας. Ἀλλὰ καὶ τοὺς σήμερον ζῶντας σοφοὺς τῶν Ῥωμαίων εἰ ἐρωτήσαιμεν πόθεν ὁ υἱὸς τὸ ὑπάρχειν ἔχει ἀφ᾽ ἑαυτοῦ ἢ παρὰ τοῦ πατρός, οὐδεὶς ἂν αὐτῶν εἴποι ἀφ᾽ ἑαυτοῦ, πάντες δὲ παρὰ τοῦ πατρός. Εἰ δὲ τὸ εἶναι ἀφ᾽ ἑαυτοῦ οὐκ ἔχει, ἀλλὰ παρὰ τοῦ πατρὸς μόνου, δῆλον ὡς καὶ πανθ᾽ ὅσα ἔχει παρὰ μόνου τοῦ πατρὸς ἔχει. Ἔχων δὲ μέντοι ἐν αὐτῷ καὶ τὸ συμφυὲς αὐτῷ πνεῦμα ἄλλοις μὲν αὐτὸ παρ᾽ ἑαυτοῦ καὶ τοῦ πατρὸς δίδωσι καὶ πέμπει καὶ προχεῖ καὶ χορηγεῖ καὶ ἐκλάμπει καὶ ἐκφαίνει καὶ φανεροῖ καὶ πρόεισι καὶ πᾶν ὃ ἂν βούλοιο, ὅταν βούληται, ὧν οὐδὲν ἡμῖν ἱκανοῖ δηλῶσαι τὸν τρόπον πῶς τὸ πνεῦμα τὴν ὕπαρξιν ἔχει. Αὐτὸς δὲ οὐ καὶ παρ᾽ ἑαυτοῦ τοῦτο, ἀλλὰ παρὰ μόνου τοῦ πατρὸς πρὸς αὐτὸν ἐκπορευόμενον ἔχει, ὅπερ ἐστὶν ὁ ἡμέτερος λόγος καὶ ὁ τρόπος τῆς ὑπάρξεως, ὁ ἰδιάζων τοῦ πνεύματος, ὃς μὴ συγγεννώμενον τῷ γεννωμένῳ υἱῷ παρὰ τοῦ πατρὸς τὸ ἐν αὐτῷ ἐχώρισεν ἀεὶ μένον ἅγιον πνεῦμα δείκνυσιν, ὃν καὶ διὰ τῆς φωνῆς τοῦ ἐκπορεύεσθαι ἡ αὐτοσοφία καὶ αὐτοαλήθεια ἡμᾶς ἐδίδαξε. Διὸ καὶ μόνῳ τῷ πατρὶ ἰδίᾳ τὴν φωνὴν ταύτην τῆς ἐκπορεύσεως ἀφιέρωσε τὸ δώσω καὶ τὸ πέμψω καὶ τἄλλα κοινὰ ἑαυτῷ καὶ τῷ πατρὶ ποιησάμενος, ὡς ἂν ἡμεῖς μάθωμεν ὡς ὅπερ αὐτὸ ἡμῖν δίδωσι πνεῦμα οὐ παρ᾽ αὐτοῦ τὴν ὑπόστασιν ἔχει, ἀλλὰ παρ᾽ ἐκείνου μόνου, ἐξ οὗ καὶ αὐτὸς ὑφίσταται. Καὶ ἐκεῖνος γενόμενος αἴτιον καὶ αὐτοῦ τοῦ εἶναι τῷ υἱῷ καὶ ὧν ἔχει καὶ μεταδίδωσιν ἄλλοις. Οὕτω τὴν φωνὴν τῆς ἐκπορεύσεως οἵ τε θεῖοι Ἀπόστολοι καὶ αἱ οἰκουμενικαὶ τῶν συνόδων καὶ οἱ καθ᾽ ἕκαστον Ἕλληνες πατέρες νοήσαντες συμφώνως τῷ Θεῷ καὶ διδασκάλῳ ἐπὶ μόνου τοῦ τρόπου τοῦ εἶναι τοῦ πνεύματος καὶ πῶς καὶ πόθεν ἔχων τὸ πνεῦμα ὁ υἱὸς μεταδίδωσι, τῷ πατρὶ μόνῳ πάντες ἰδίᾳ ἀνέθεντο, ἄλλαις ὡς εἴρηται φωναῖς τὴν παρὰ τοῦ πατρὸς καὶ υἱοῦ πρὸς ἡμᾶς παρουσίαν τοῦ πνεύματος

διαφόρως σημάναντες καὶ τὸ συμφυὲς υἱοῦ καὶ πνεύματος δείξαντες. Διὸ καὶ εἰ πάσας τις τὰς ἡμετέρας ἐξετάσειε βίβλους, οὐδαμοῦ ἐπὶ τοῦ υἱοῦ τὴν φωνὴν ἂν εὕροιτο ταύτην, εἰ μή που τις ῥῆσις παρὰ Ῥωμαίοις εὑρεθείη πρὸς τὴν ἐκείνων γλῶσσαν μετενηνεγμένη καὶ διὰ τὸ τῆς γλώσσης στενὸν τὰς διαφόρους τῶν πατέρων φωνάς, αἵ δηλοῦσι τὴν πρὸς ἡμᾶς παρουσίαν τοῦ πνεύματος καὶ τὸ συμφυὲς τῶν προσώπων υἱοῦ καὶ πνεύματος, πρὸς τὴν φωνὴν τῆς ἐκπορεύσεως μετήνεγκεν ὁ τυχών τις. Ἀλλὰ μὴ μέμψοιτό τις ἡμῖν στένωσιν κατηγοροῦσι τῆς γλώττης· οὐ γὰρ τῆς σοφίας ἁπτόμεθα τῶν Ῥωμαίων, καθ᾿ ἣν οὐδὲν τοῖς παλαιοῖς Ἕλλησί τι πλέον αὐτῶν ἔχειν ἀφῆκαν. Δείξομεν αὐτοὺς γὰρ ἐν οἷς ἄν τι μεταγλωττίσαιεν ἀπὸ τῆς ἡμετέρας πρὸς τὰ ἐκείνων ὡς περιττὰ παρατρέχειν τὰ ἄρθρα καὶ ἃ μετὰ τῶν ἄρθρων ἡμεῖς ἀπαγγέλλομεν, ἐκεῖνα ἀπαγγέλλονται ἄνευ ἄρθρων. Τοῦτο δὲ δῆλον ἔσται ἀπὸ τοῦ συμβόλου τῆς πίστεως· λέγομεν γὰρ ἡμεῖς πιστεύειν καὶ εἰς ἕνα Κύριον Ἰησοῦν Χριστὸν τὸν υἱὸν τοῦ Θεοῦ τὸν μονογενῆ, αὐτοὶ τὸ τὸν καὶ τὸ τοῦ παραλείποντες, οὕτω προφέρουσιν υἱὸν Θεοῦ μονογενῆ καὶ ἐν πᾶσιν ὁμοίως. Τοῦτο δὲ οὐ τῆς γνώμης αὐτῶν ἔγκλημα, ἀλλὰ τῆς γλώττης, ὧν οὐδεμία φροντὶς ἡμῖν. Τέλος δὲ ἡμεῖς διαφόρως νοοῦμεν τά τε μετὰ τῶν ἄρθρων ἀπαγγελλόμενα καὶ ἃ τῶν ἄρθρων χωρὶς ἔν τε ταῖς κοιναῖς ὁμιλίαις καὶ ταῖς ἁγίαις Γραφαῖς· μετὰ γὰρ τοῦ ἄρθρου ὡρισμένον τι περιγράφομεν, δίχα δὲ ἄρθρου ἀόριστόν τι καὶ τῶν πολλῶν ἕν, οἷον φέρε εἰπεῖν ἄνθρωπός τις διαταττόμενος γράφει ὡς ἀφίημι τῷδε τῷ ἀνθρώπῳ βιβλίον ἢ ἱμάτιον ἤ τι ἕτερον, ὅθεν οὐδὲν δικαιοῦται ὁ τὸ βιβλίον ληψόμενος τόδε ἢ τόδε τὸ βιβλίον λαμβάνειν, ἀλλ᾿ ὃ ἂν τύχοι. Διὸ δὲ μᾶλλον τούτου ἐμνήσθημεν, ὁ Κύριος ἐν τοῖς Εὐαγγελίοις φησὶ περὶ τοῦ ἁγίου πνεύματος οὑτωσίν· ἐκ τοῦ ἐμοῦ λήψεται καὶ ἀναγγελεῖ ὑμῖν, οἱ δὲ ἀπὸ τῆς Ἑλληνίδος πρὸς τὴν Ρωμαίων γλῶσσαν μεταφέροντες τὴν Γραφὴν οὐκ ἐκ τοῦ ἐμοῦ γράφουσιν, ἀλλ᾿ ἐξ ἐμοῦ, ὅτι τὸ τοῦ ἄρθρον ἐκείνη ἡ γλῶσσα οὐ δέχεται. Ὁπόσον δὲ διαφέρει τὸ ἐξ ἐμοῦ τοῦ ἐκ τοῦ ἐμοῦ οὐδένα οἶμαι τῶν τὴν ἡμετέραν καὶ Ἑλλήνων σοφίαν κἂν ἐκ μέρους εἰδότων λανθάνειν· κείμενον γὰρ τὸ τοῦ κτητικὴν πρόδηλον δείκνυσιν τὴν ἐμοῦ ἀντωνυμίαν καὶ οὐ πρωτότυπον. Ὅθεν αὐτίκα νοεῖται ἢ ἐκ τοῦ ἐμοῦ πατρὸς ἢ ἐκ τοῦ ἐμοῦ λόγου ἢ ἐκ τοῦ ἐμοῦ θησαυροῦ. Τὸ δὲ ἐξ ἐμοῦ χώραν ἔχει νοεῖσθαι τὸ τοῦ λέγοντος πρόσωπον ἀμφιβόλου τῆς ἀντωνυμίας κειμένης, διό ποτε ἐνδέχεται καὶ τὴν ἔννοιαν ἐν ταῖς μεταγλωττίσεσι φθείρεσθαι. Εἰ δέ τις καὶ τὸν εἰς τὸν μέγαν Ἀθανάσιον ἐπιτάφιον τοῦ Θεολόγου ἐξακριβώσαιτο λόγον, εὑρήσει ὡς οἱ Ρωμαῖοι τὸ αὐτὸ νοοῦσι σημαινόμενον ἔχειν ὑπόστασιν καὶ οὐσίαν, ὅπερ μεγάλην ἐκίνει ζάλην ἐν ταῖς ἐκκλησίαις. Ἕλληνες γὰρ τρεῖς ὡμολόγουν τὰς τῆς θεότητος ὑποστάσεις καὶ μίαν τὴν οὐσίαν, οἱ δὲ Ρωμαῖοι μίαν μὲν ὑπόστασιν καὶ μίαν οὐσίαν ἔλεγον τὸν Θεόν, τρία δὲ πρόσωπα· ὅθεν ὁ μέγας Ἀθανάσιος εἰδὼς μίαν οὖσαν καὶ εὐσεβῆ τῶν γλωσσῶν ἀμφοτέρων τὴν ἔννοιαν συμβιβάζει τὰς

ἐκκλησίας πείσας ἅπαντας μὴ ταῖς λέξεσι προσέχειν ἀλλὰ τῷ νῷ· ὃ καὶ νῦν ὁ Θεὸς τῇ πανσόφῳ αὐτοῦ προνοίᾳ οἰκονομήσοι καὶ μὴ εἰς τέλος τὴν ἐν τῇ οἰκουμένῃ ἁγίαν αὐτοῦ καθολικὴν καὶ ἀποστολικὴν ἐκκλησίαν σχίζεσθαι καὶ μερίζεσθαι καταλίποι.

Κύριε Ἰησοῦ Χριστέ, ὁ τὸν μόνον ἀγέννητον Θεὸν καὶ αἴτιον σὸν εἶναι πατέρα κατὰ φύσιν ἡμῖν γνωρίσας καὶ ἄλλον τε εἶναι κατὰ σὲ παράκλητον τὸ πνεῦμα τὸ ἅγιον ἡμᾶς διδάξας καὶ μήτε ἀγέννητον, ὡς ὁ πατήρ, μήτε ὡς σὺ γεννητόν, ἀλλ᾿ ἐκπορευτὸν ἐκ τοῦ πατρὸς καὶ μόνου ὅτι μὴ καὶ παρὰ σοῦ τὴν ὕπαρξιν αὐτὸ σχεῖν ἡμῖν παραδοὺς καὶ μόνον αἴτιον καὶ μόνην πηγὴν τῆς σῆς καὶ τοῦ σοῦ πνεύματος ὑπερουσίου θεότητος καὶ ἑκατέρου μόνον τὸν σὸν πατέρα ἡμῖν δηλώσας, ἐν οἷς μήτε σαυτὸν ἐκ τοῦ πνεύματος τὸ εἶναι ἔχειν κατὰ τὴν ὑπέρχρονόν σου γέννησιν, μήτε τὸ πνεῦμα παρὰ σοῦ ἐκπορεύεσθαι κατὰ τὴν προαιώνιον πρόοδον ἐν ταῖς γραφαῖς σου ταῖς θείαις ἡμᾶς ἐφώτισας, εἰ καὶ ἐν ἐσχάταις ἡμέραις αὐτό σε καὶ ὁ πατὴρ εἰς τὸν κόσμον ἀπέστειλε δι᾿ ἡμᾶς καὶ τὴν ἡμετέραν σωτηρίαν εἶδος ἤτοι φύσιν ἀνθρώπου ἀναλαβόμενον καὶ σὺ τοῦτο παρὰ τοῦ πατρὸς τοῖς Ἀποστόλοις σου ἔπεμψας γλωσσῶν ἐν εἴδει πυρίνων καὶ ὁμοιώματι, ἵνα αὐτοὺς διδάξῃ πᾶσαν τὴν ἀλήθειαν, μηκέτι παρίδῃς σχιζομένην τὴν ἐκκλησίαν σου, ἀλλ᾿ ἐπίβλεψον ἐξ οὐρανοῦ καὶ ἴδε καὶ ἐπίσκεψαι τὴν ἄμπελον ταύτην καὶ κατάρτισαι αὐτήν, ἣν ἐφύτευσας, ἡ δεξιὰ σὺ τοῦ Θεοῦ καὶ πατρός, καὶ δὸς αὐτῇ τὴν ἀγάπην σου καὶ δὸς αὐτῇ τὴν εἰρήνην σου καὶ δὸς ἡμῖν ἐν ἑνὶ στόματι καὶ μιᾷ καρδίᾳ δοξάζειν καὶ ὁμολογεῖν καὶ πιστεύειν μὴ ἄλλως ἀλλ᾿ ἢ ὡς αὐτὸς ἡμῖν θεολογήσας παρέδωκας καὶ ὡς οἱ Ἀπόστολοί σου ἐδίδαξαν καὶ οἱ μάρτυρές σου ὡμολόγησαν καὶ ὡς οἱ μακάριοι καὶ θεῖοι πατέρες ἡμῶν συμφώνως ἐν ταῖς οἰκουμενικαῖς συνόδοις ὡρίσαντο ὅτι ἐν σοὶ μόνῳ καθ᾿ ὑπόστασιν ἡ θεότης ἡνώθη τῇ ἀνθρωπότητι καὶ σὺ μόνος ἐν οὐρανῷ καὶ γῇ μίαν συνεκρότησας ἐκκλησίαν καὶ σὺ μόνος οἷα περ λίθος ἀκρογωνιαῖος τοὺς δύο λαοὺς εἰς ἕνα συνῆψας καὶ τοῦτο σὺ μόνος δύνασαι καί σοι τὴν δόξαν ἀναπέμπομεν σὺν τῷ ἀνάρχῳ σου πατρὶ καὶ τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου πνεύματι νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Κ. Ι. ΔΥΟΒΟΥΝΙΩΤΗΣ

ΠΕΡΙ ΚΟΜΜΩΣΕΩΣ ΤΩΝ ΒΥΖΑΝΤΙΝΩΝ

Ὁ κ. Φαίδων Κουκουλὲς ἐν εἰδικῇ σοβαρᾷ μελέτῃ [1] διεζωγράφησε τὰ πρόσωπα τῶν καλλωπιζομένων Βυζαντινῶν γυναικῶν ἀναπαραστήσας ζωηρὰν τὴν εἰκόνα τῶν ἠχρειωμένων καὶ ἠλλοιωμένων προσώπων διὰ τῆς βαφῆς Βυζαντινῶν κυριῶν, ἐπὶ τῇ βάσει τῶν περισωθέντων κειμένων καὶ μνημείων. Εἰς τὴν καλλιτεχνικὴν ταύτην εἰκόνα, ἐν ᾗ βλέπομεν τὰ χείλη καὶ τὰς παρειὰς ἐρυθράς, καὶ τὰς ὀφρῦς μεμελανωμένας, τὰ ἄλλα μέρη τοῦ προσώπου, οἱ κρόταφοι καὶ ὁ πώγων καὶ αἱ ἐπιβλεφαρίδες μένουσιν ἀχρωμάτιστα. Τὸ κόκκινον χρῶμα αἱ Βυζαντιναὶ κυρίαι ἐπέθετον ὄχι μόνον εἰς τὰ χείλη καὶ τὰς παρειάς, ἀλλὰ καὶ εἰς τὸ ἄκρον τοῦ πώγωνος, τὸ δὲ μέλαν εἰς τὰς ὀφρῦς, τὰς ἐπιβλεφαρίδας καὶ εἰς τοὺς κροτάφους, πράγματα καὶ ἐπινοήματα ἄγνωστα καὶ εἰς τὰ τελειότερα κομμωτήρια τῶν Παρισίων. Ἡ τοιαύτη τῶν προσώπων διακόσμησις ἐν κοινῇ χρήσει κατὰ τὸν ΙΕ΄ αἰῶνα ὑπάρχουσα, ἔχει βεβαίως εἰς πολὺ βαθυτέραν ἐποχὴν τὴν ἕξιν, οὐδὲ δύναται νὰ θεωρηθῇ ὡς νεωτερισμὸς ἡ βαφὴ τοῦ πώγωνος καὶ τῶν κροτάφων καὶ ἐπιβλεφαρίδων, ὡς περιγράφει αὐτὴν καὶ ψέγει ὁ Νομοφύλαξ τῆς Θεσσαλονίκης Ἰωάννης ὁ Εὐγενικός. Οὗτος ἐν λόγῳ τινὶ αὐτοῦ πρὸς τὰς καλλωπιζομένας γυναῖκας, ἐκφωνηθέντι πάντως ἐν Θεσσαλονίκῃ, περιγράφει λεπτομερῶς τὴν ὅλην δραματουργίαν, ὡς ἀποκαλεῖ αὐτήν, τὴν γινομένην ἐν τῷ προσώπῳ τῆς γυναικός, καὶ εἰς τὸ ἀχρειούμενον διὰ τῆς βαφῆς πρόσωπον προσθέτει τὸ μέλαν εἰς τοὺς κροτάφους καὶ τὸ κόκκινον εἰς τὸ ἄκρον τοῦ πώγωνος. Τὰ εἰς ἐπαρχιακὴν δὲ πόλιν τελούμενα ἀντεγράφοντο, ὡς εἰκός, ἐκ τῆς πρωτευούσης, ἥτις ἐκανόνιζε κατὰ διαφόρους ἐποχὰς τὰ τῆς διακοσμήσεως τοῦ προσώπου.

Ὁ λόγος οὗτος τοῦ Εὐγενικοῦ, ὁ διασωθεὶς ἐν αὐτογράφῳ αὐτοῦ Κώδικι [2] ἀποκειμένῳ ἐν τῇ Ἐθνικῇ τῶν Παρισίων Βιβλιοθήκῃ [3] εἶναι συμβολὴ πολύτιμος εἰς τὰ περὶ κομμώσεως τῶν Βυζαντινῶν καὶ συμπληροῖ τὴν λαμπρὰν εἰκόνα τὴν ὁποίαν ἡ ἀκατάβλητος φιλοπονία τοῦ κ. Κουκουλὲ ἀνεστήλωσεν.

[1] Ἴδ. Ἐπετηρίδα Ἑταιρείας Βυζαντινῶν Σπουδῶν ἔτ. Ζ΄ σ. 3-37.

[2] Ὁ Κῶδιξ ἐγράφη τῷ 1429 καὶ περιέχει διάφορα αὐτοῦ ἔργα ὡς καὶ τοῦ αὐταδέλφου του Μάρκου τοῦ Εὐγενικοῦ.

[3] Κῶδ. 2075 φ. 411α.

Τοῦ Νομοφύλακος [Ἰωάννου τοῦ Εὐγενικοῦ] πρὸς τὰς καλλωπιζομένας γυναῖκας

Καὶ περὶ ἐνδύματος τί μεριμνᾶτε, φησὶν ὁ Κύριος· καταμάθετε τὰ κρίνα τοῦ ἀγροῦ πῶς αὐξάνει, οὐ κοπιᾷ οὐδὲ νήθει» [1]. Εἰ οὖν ἐπὶ τῶν ἀναγκαίων ἐπιβλημάτων οὐκ ἐᾷ ἡμᾶς μεριμνᾶν ὁ Κύριος, ὡς οὐδ' ἐπὶ τῆς τροφῆς καὶ τῶν ἄλλων τῶν κατὰ τὸν βίον, πολλῷ μᾶλλον ἐπὶ τῶν περιττῶν καὶ πολυτιμήτων ἐνδυμάτων τῶν εὐανθῶν καὶ κομψῶν καὶ μαλακῶν, χρυσοπάστων τινῶν καὶ λαμπρῶν καὶ λιθοκολλήτων. Ἔστω δ' οὖν ὅμως ἐπὶ τούτῳ τοῖς νέοις συγγνώμη καὶ ταῖς εὐγενέσι καὶ πλουσίαις τῶν γυναικῶν.

Τί δ' ἂν εἴποι τις περὶ τῶν ἀκαίρως καὶ ματαίως καλλωπιζομένων, μᾶλλον δὲ οὐ καλλωπιζομένων, ἀλλὰ καταισχυνουσῶν ἑαυτάς; τήν τε γὰρ φύσιν παραφθείρουσι καὶ τὸν ταύτης δημιουργὸν καὶ ποιητὴν καὶ πλάστην ἑαυτῶν ἀθετοῦσι καί, ὅσον τὸ ἐπ' αὐτάς, ἐν οἷς ποιοῦσι μέμφονται καὶ κακίζουσι καὶ τὴν ἄρρητον ἐκείνου σοφίαν — ὢ τῆς μανίας! — φιλονεικοῦσιν ἐπανορθοῦν, λευκώματά τινα ἐπινοοῦσαι τοῖς προσώποις αὐτῶν καὶ περιτρίμματα καὶ ἐρυθρώματα καὶ ταῖς ὀφρύσι καὶ τοῖς κροτάφοις μελανώματα, ἔργα καταγέλαστα ὡς ἀληθῶς καὶ πάσης μανίας καὶ παραφροσύνης ἐπέκεινα.

Ἔπεστί μοι θρηνεῖν καὶ δακρύειν ὅταν τὴν τοσαύτην ἀσχημοσύνην ἐνθυμηθῶ· ὅταν βλέπω καινοτομουμένην τὴν φύσιν καὶ παρηλλαγμένην τὴν ὄψιν καὶ τὸ κατ' εἰκόνα Θεοῦ κτισθὲν πρόσωπον ἠχρειωμένον ταῖς παρὰ φύσιν ὑπαλλαγαῖς καὶ ἠλλοιωμένον τοῖς ἐπεισάκτοις καὶ ξένοις χρώμασι. Τίς εἶδε, τίς ἤκουσε Θεοῦ καὶ θείων ἔργων ἡμᾶς ἐπανορθωτὰς τολμᾶν γίνεσθαι; ᾐσχύνθητε ἀκούουσαι τὴν ἄλογον καινοτομίαν, τὴν ἄκαιρον φιλοτιμίαν, τὴν ματαίαν φιλοπραγμοσύνην ὑμῶν, ἠρυθριάσατε μανθάνουσαι τὴν τοιαύτην ἀσχημοσύνην ᾐδέσθητε τοῖς τοῦ συνειδότος κέντροις βαλλόμεναι καὶ ταῖς μάστιξι τοῦ ἔνδον κριτηρίου πληττόμεναι. Εἰ οὖν ἐντρέπει καὶ πλήττει τὰς καρδίας ὑμῶν ἡ τούτων διήγησις, εἰ τὸ βλαβερὸν καὶ θεομισὲς πρόδηλον, εἰ τὸ αἰσχρὸν αὐτόθεν ὑποβάλλει ἡ τῶν τοιούτων ὑπόμνησις, διατί τῶν ἔργων ἀνέχεσθε, ‖ (φ. 411β) διατί ταῦτα ποιεῖν ἐπιχειρεῖτε καὶ ποιοῦσαι οὐ καταδύεσθαι οὐδὲ συγκρύπτεσθαι σπουδάζετε, οὐδ' ὡς εἰκὸς καὶ κατορύττεσθαι, ἀλλὰ πομπεύεσθαι καὶ πομπεύειν καὶ δημοσιεύειν τὸ δεινὸν καὶ ταῖς ἁπάντων ὄψεσι φαίνεσθαι; Καὶ γινομένου μὲν τοῦ κακοῦ καὶ τελουμένων τῶν τοιούτων παραπλασμάτων λανθάνειν πάσαις μηχαναῖς σπεύδετε τὰς θύρας ἀποκλείουσαι τοῦ κοιτῶνος καὶ τοῖς ἐνδοτέροις τῶν θαλάμων παρεισδυόμεναι, καὶ τὰς ὀπὰς περιεργαζόμεναι καὶ τὴν στέγην αὐτὴν ὑφορώμεναι, καὶ τῶν θεραπαινίδων τὰς πιστοτάτας θυρωροὺς ἐφιστᾶσαι, μή πού τις λάθῃ παρεισελθὼν

[1] *Ματθ.* ϛ΄, 28. *Λουκ.* ιβ΄, 27.

καὶ τῶν σφόδρα οἰκειοτάτων καὶ τὴν δεινὴν ἐκείνην δραματουργίαν θεάσηται. Τελεσθέντος δὲ τοῦ πτώματος καὶ τῆς συμφορᾶς ἁπάσης ἐξεργασθείσης πανηγυρίζειν ἀνέχεσθε καὶ δημοσίᾳ ἑαυτὰς καὶ τὴν σατανικὴν ἐκείνην μεταποίησιν ἐμφαίνειν καὶ θεατρίζειν τὸ αἶσχος τῆς φύσεως. Καὶ τότε μὲν οὕτω δημιουργούμεναι καὶ πλαττόμεναι καὶ πορνικῶς ἑαυτὰς περιχρίουσαι συγκαλύπτεσθε, καὶ οὐδ᾽ ἂν ἀδελφῷ οὐδὲ πατρί, οὐδ᾽ αὐτοῖς ἀνδράσιν ὑμῶν ῥᾳδίως θαρρήσετε, μετὰ δὲ τὴν καλὴν ἐργασίαν πᾶσιν ἀνθρώποις ἑτοίμως πιστεύετε θέαμα πᾶσι προκείμεναι φύσει μᾶλλον μισούμενον ἢ ἀγαπώμενον, φύσει βδελυττόμενον ἢ ποθούμενον, φύσει κακιζόμενον ἢ ἐπαινούμενον, μᾶλλον ὑβριζόμενον ἢ θαυμαζόμενον, εἰρωνευόμενον οὐ τιμώμενον, ἐλεούμενον, τοῖς νοῦν ἔχουσιν οὐκ ἀποδοχῆς ἀξιούμενον, πρᾶγμα καὶ θέαμα, ἤ, μᾶλλον εἰπεῖν, πλάσμα καὶ τέχνασμα τοῦ πονηροῦ καὶ τῆς ἀρχαίας συμβουλῆς τοῦ ὀλοθρευτοῦ δράκοντος ἄξιον.

Ὥσπερ γὰρ οἱ μοχθηρότατοι τῶν ἐν πόλεσι τὸ κοινὸν πᾶσι καὶ σύνηθες νόμισμα καὶ τὴν βασιλικὴν εἰκόνα διαφθείροντες κιβδηλεύουσι καὶ παραχαράττουσι καὶ τοῖς νόμοις ὡς κοινοὶ φθορεῖς ταῖς ἐσχάταις τιμωρίαις ὑπάγονται, τὸν αὐτὸν τρόπον καὶ οἱ τὴν φύσιν αὐτὴν καὶ τὸ τοῦ Θεοῦ πλάσμα μεταποιεῖν ἐπιχειροῦντες καὶ τολμῶντες ἐπὶ μηδεμιᾷ πάντως ἀνάγκῃ κοσμεῖν, ὡς ἐχθροὶ τοῦ Θεοῦ τῇ αἰωνίᾳ κολάσει παραπεμφθήσονται, μηδενὸς οἴκτου, μηδεμιᾶς φειδοῦς καὶ συμπαθείας ἀξιούμενοι, κἂν τε γυναῖκες, κἂν τε ἄνδρες ὦσι.

Καὶ γὰρ καὶ εἰς τούτων τινὰς ἤδη τὰ τῆς κακίας — ὢ τῆς αἰσχύνης! — χωρεῖ, κἂν τε νέοι, κἂν τε γέροντες, κἂν τε ἰδιῶται, κἂν τε σοφοί, εἴτε πλούσιοι, εἴτε πένητες, εἴτε δοῦλοι, εἴτε ἐλεύθεροι πάντες ἀναμφιβόλως ταῖς ἐσχάταις τιμωρίαις ὑποβληθήσονται καὶ ἀσύγγνωστα κατακριθήσονται, τὴν φύσιν αὐτὴν καὶ τὴν τοῦ Θεοῦ δημιουργίαν παραχαράττοντες. Οὐχ οὕτω τὸν ἁμαρτάνοντα ὡς τὸν ἀναισχυντοῦντα κολάζειν οἶδε Θεός, φησὶν ἡ γραφή. Ποία δὲ ταύτης ἀναισχυντία μείζων γένοιτ᾽ ἄν; αἰσχύνεται ὁ βλέπων σε ἔξωθεν καὶ σὺ οὐκ αἰσχύνῃ; εὐλαβεῖται ἀτενίζειν εἰς || (φ. 412α) τοιοῦτόν σου πρόσωπον, καὶ σὺ οὐκ εὐλαβῇ; ἐντρέπεται πᾶς τις πρὸς τοσαύτην ἀσχημοσύνην καὶ σὺ οὐκ ἐντρέπῃ;

Ὁ μεθύων μανίαν αὐθαίρετον ἐντίθησιν ἑαυτῷ καὶ σὺ μεθύοντος ὄψιν περιποιῇ σεαυτῇ, ἀντὶ τοῦ μετρίου καὶ φυσικοῦ τῆς αἰδοῦς κόσμου φοινικοπλαστουργοῦσα τὰς παρειὰς καὶ χείλη καὶ πώγωνος ἄκρον. Ὁ πάθεσι καὶ αἰσχροῖς ἐγκλήμασιν ἁλοὺς μελαντηρίᾳ τῷ προσώπῳ περιχεθεὶς τῇ ἀγορᾷ περιάγεται θεατριζόμενος, καὶ σὺ παρὰ μηδενὸς δικαστηρίου κατακριθεῖσα μελαντηρίαν τῶν κροτάφων καὶ τῶν ὀφρύων, ἤδη δὲ καὶ τῶν ἐπιβλεφαρίδων τριχῶν καταχέουσα περιέρχῃ τὰς ἱερὰς πανηγύρεις καὶ τὴν ἐκκλησίαν τοῦ Θεοῦ πάντων τὰς γλώσσας ἀνοίγουσα, πᾶσι πρόσκομμα προκειμένη καὶ σκάνδαλον καὶ Ἰουδαίοις καὶ Ἕλλησι καὶ τῇ ἐκκλησίᾳ τοῦ Χριστοῦ καὶ ἀντὶ

